# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 8

## 1911

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ. Ε.Κ. ΙΩΑΝΝΙΝΑ 2006

ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΤΟΜΟΣ Η' — 30 Ἰουνίου 1911. — ΤΕΥΧΟΣ Β'.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

# Ο ΜΑΡΚΙΑΝΟΣ ΚΩΔΙΞ 524 [1]

102 (φ. $39^{β}$). Ἀνεπίγραφα ἐπιγράμματα εἰς ἅγιον Μᾶρκον. Ἔχουσιν ὅλα ὧδε·

Καλεῖ σε, Μάρκε, Χριστὸς ἐξ Αἰγυπτίων·
οἷς αὐτὸν υἱὸν τοῦ θεοῦ πατρὸς λέγεις·
φρουρᾶς γὰρ ἔνδον φῶς διαυγάζει μέγα,
πρὸς τὴν ἄνω δὲ Ναζαρὲτ μετανάγει.

Τοῖς σοῖς κρατίστοις προςπεσόντα σχοινία
ἔτειναν εἰς γῆν, Μάρκε, πρὸς Αἰγυπτίοις,
πλὴν ἀλλά, σαρκῶν κἂν διεσπάσθη φύσις,
ὀστοῦν ὅμως σὸν οὐδὲ θρὶξ λείψει μία.

Εἰ Πέτρος ἐστὶ πέτρα τῆς ἐκκλησίας,
υἱὸν δ' ἐκεῖνος ἀγαπητόν σε γράφει,
ναὶ καὶ σὺ ταύτης, Μάρκε, συνδέτης λίθος
Εὐαγγελίου τετραγωνίσας βίβλους.

103 (φ. $39^{β}$). Ἀνεπίγραφον εἰς τάφον Τζυκανδύλη Γουδέλη. Ἔχει ὅλον ὧδε·

Καινός τις οὗτος τύμβος ὃν βλέπεις, ξένε·
τὰ βάθρα μὲν γὰρ δυςτυχημάτων γέμει
ὕλην λαχόντα δάκρυα, στόνους, πόνους,
τὰ δ' ἔνδον ἄλλως εὐτυχεστάτως ἔχει
ὡς οἷα θησαύρισμα κακῶν μυρίων.

[1] Συνέχεια καὶ τέλος ἐκ τοῦ Τόμου Η' σ. 59.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Κρύπτει γὰρ ἄνδρα τὸν τόσον Τζϊκανδύλην,
τὸν πανσέβαστον μυριαχῶς Γουδέλην
ἐξ ἀξίας τε καὶ γεραρῶν χαρίτων,
οὗ και παρ' αὐτῆς τῆς γεναρχίας κλέος.
Ἡ πατρομήτωρ καὶ γὰρ αὐτοῦ συγγόνη
Βοτανειάτῃ βασιλεῖ Νικηφόρῳ.
ἧς ἄξιον βλάστημα φυὲν εὑρέθη,
οὗ κόσμος ἦν φρόνησις, οὗ γνῶσις ξένη,
οὗ χειλέων ἔβλυζε γλυκάζων λόγος.
οὗ χεῖρας ὡράϊζεν ἀνδρείας χάρις.
ὃς ἑρμαϊκῶν ἀγλαϊσμάτων γέμων
ἔπνει τὸν Ἄρην, πῦρ κατ' ἐχθρῶν ἀπέπνει,
βουληφορεῖν δὲ δεξιὰν λαχὼν φύσιν
στρατηγετεῖν ἄριστος ἦν ἐν ταῖς μάχαις.
Τοιοῦτον αὐχῶν καὶ τὸν αὐτοῦ πατέρα
εἰς χεῖρα καὶ βούλευμα καὶ στραταρχίαν
ἐντεῦθεν αὐτὸν ἐγγράφει τοῖς γνησίοις
ἄναξ Μανουὴλ διπλοπόρφυρος κλάδος,
ὃν γῆς τετραμέρεια δεσπότην ἔγνω
χειρῶν κράτος φρίξασα καὶ φρενῶν βάρος.
Πρὸς ἔννομον δὲ τοῦ βίου κοινωνίαν,
αὐτῷ συνάπτει Κομνηνὴν Εὐδοκίαν,
Θεοδώρας ὄρπηκα βλαστοῦ πορφύρας,
ἐξ αὐτάνακτος Αὐσόνων Ἀλεξίου.
Καὶ σώματος μὲν παγκάλην εὐπλαστίαν
πλουτοῦσαν ὡς ἄγαλμα φύσεως μέγα
καὶ ψυχικῶν δὲ καλλονῶν ἀποκρύφων
φαιδρῶς διαπρέπουσαν ἐν λαμπηδόσιν,
ἀρχαῖς δὲ χωρῶν λαμπρύνει πολυφθόνοις
ἔχων παρ' αὐταῖς καρδίας ταῖς ἀγκάλαις.
Ἀλλ' ὦ ῥέων ἄστατε, παμφάγε χρόνε,
ὦ καρπὲ θνητότητος ἀρχαίου ξύλου,
ἀνθεῖ μὲν αὕτη καὶ δοκεῖ θάλλειν ὅσον
ὡς ἄμπελος φοίνικι συρριζουμένη,
πλὴν ἀλλὰ βότρυς οὐκ ἀπ' ἀμφοῖν ἐξέφυ,

Ε.Υ.Α της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

νόσοις τρυχωθέντος δὲ τούτοις δυσφόροις
τέλος στερεῖται τῆς καλῆς συμψυχίας,
τῶν ἀμφίων δὲ συγκαλυφθεῖσα γνόφῳ,
δείκνυσι λύπης ἐγχυθὲν ταύτῃ σκότος.
τρυγὼν δὲ φιλό(ζ)ευνος ἐκλελειμμένη
ἀείδακρυς ῥεῖ τὸν παρέρποντα χρόνον.
Τοιοῦτος οὗτος τύμβος ἀλγεινῶν ὅλος.
Σὺ δ' ἀλλὰ θρηνῶν τὴν ταχύφθαρτον φύσιν
εὔχου πλέον σχεῖν τὸν λυθέντα πρὸς κόνιν
σκήνωμα τρυφῆς τὴν ἀείζωον χλόην.

104 (φ. 40α). «Διδασκαλία σύντομος καὶ σαφεστάτη περί τε τῶν δέκα κατηγοριῶν καὶ τῶν προτάσεων καὶ τῶν συλλογισμῶν περὶ ὧν τὶς προδιδαχθεὶς εἰς πᾶσαν μὲν μᾶλλον ἐπιστήμην καὶ τέχνην, ἐξαιρέτως δὲ εἰς ῥητορείαν εὐκόλως ἐμπορεύεται. Τοῦ ὑπερτίμου κυροῦ **Μιχαὴλ τοῦ Ψελλοῦ**».

Ἀρχ. Ἐπειδὴ τισὶν οὐκ οἶδ' ὅθεν εἰπεῖν.

105 (φ. 45β). «Εἰς εἰκόνα τοῦ Χαιρετισμοῦ». Στίχοι 8.

Ἀρχ. Πλάνη γυναικός, ἡδονῆς γεῦσις ὄφις.

106 (φ. 45β). «Εἰς τὴν Ὑπαπαντήν».

Ἀρχ. Ὁ μὲν Δανιὴλ τὴν θεοῦ δόξαν βλέπων
ὁρᾷ παλαιὸν ἡμερῶν ἐπὶ θρόνου.

107 (φ. 45β). Ἕτερον ἀνεπίγραφον. Στίχοι 20.

Ἀρχ. Πολλὰς μὲν ἔσχον δωρεῶν ὕλας, κόρη.

108 (φ. 45β). «Εἰς τὸ στέμμα τοῦ κυροῦ Ἀλεξίου δωρηθὲν αὐτῷ παρὰ τοῦ πρωτοσεβαστοῦ».

Ἔχει ὅλον ὧδε·

Προτείνει ... μὲν ὑψόθεν σοι τὸ στέφος,
Ἀλέξιε, βλάστημα τριπλῆς πορφύρας,
ἡ τοῦ θεοῦ χείρ· τοῦτο δ' ἐντίθησί σοι
ὡς κληρονόμῳ τοῦ προπαππῴου κράτους

Ε.Ο.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πατὴρ σὸς ἄναξ Μανουὴλ αὐτοκράτωρ.
κοσμοῦσι δ' αὐτὸ μαργάροις τε καὶ λίθοις
πίστις, πόθος, δούλωσις ἀκραιφνεστάτη
πρωτοσεβαστοῦ πρωτοβεστιαρίου.
Εἴη δὲ τῷ τεκόντι καὶ στέψαντί σε
χρόνοις τε μακροῖς εὐθετεῖν σοι τὸ στέφος
καὶ βασιλικοῖς ἐγκαθιστάνειν νόμοις.

109 (φ. 45β). Ἀνεπίγραφον εἰς εἰκόνα τοῦ Χριστοῦ κοσμηθεῖσαν χρυσῷ ὑπὸ Μαρίας τῆς συζύγου Μανουὴλ Κομνηνοῦ.

Ἔχει ὅλον ὧδε·

Ἐκ σοῦ μὲν ἡμῖν χαρίτων πολυτρόπων
ἀνεστομώθη μυριόκρουνος βρύσις,
πηγὴ θεοσφράγιστε τοῦ ζῶντος λόγου,
πολλῶν δ' ἀγαθῶν ἀνεῴχθησαν πύλαι
ὁδὸν διατρίβουσι τοῦ κάτω βίου,
ἔμψυχε Χριστοῦ παμβασιλέως πύλη.
Τὸ πᾶν δὲ βραχεῖ συμπερικλεῖσαι λόγῳ,
τὴν εὐμένειαν ἐβράβευσας πλησμίαν
τοῦ πορφυρανθοῦς Αὐσόνων βασιλέως
πιστοῦ Μανουήλ, πᾶσι φρικτοῦ βαρβάροις.
Πρὸς ταῦτά σοι τίς[1] ἀντιτάλαντος χάρις;
Πλὴν ἀλλὰ δεῖγμα πίστεώς τε καὶ πόθου
δέδεξο τοῦ σοῦ χρύσεον κόσμον τύπου,
ὃν πρὸς θαλάσσας δωρεῶν σῶν σταγόνα
ἰταλοφυὴς Μαρία σοι προσφέρω.
Καὶ νῦν μὲν ἐν γῇ σὴν χάριν πάλιν βρύε,
τέλος δ' ὑπανοίξασα τῆς Ἐδὲμ πύλας
ἀειχλόου γῆς δός, κόρη, βλέπειν ὕδωρ.

110 (φ. 46α). «Ἐπὶ τοῖς εἰκονισθεῖσιν ἐν τῷ προπυλαίῳ τῶν Ἁγίων τεσσαράκοντα».

Ἔχει ὅλον ὧδε·

Τροχοῦ φορὰ χρόνου μὲν ἀστατουμένη

[1] τίς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στοᾶς τὸ κάλλος ῥυτιδωθὲν δεικνύει,
ἀδελφικὸς πόθος δὲ μὴ γηρῶν χρόνῳ
τοῦ Συροπώλων ἐκ γένους Γεωργίου
αὖθις νεουργεῖ καὶ τὸ γῆρας ἐξάγει,
δικαιοσύνης ἥλιον γράφων μέγαν
τὸν ἐκ σελήνης ἐκφανέντα παρθένου
τεσσαρακοντάδα τεσσαρακοντάδε λαμπρῶν ἀστέρων
μαρτυρικοῖς ὕδασιν ἐκλαλουμένων
ἐξανθρακωθέντων δὲ πυρὶ καμίνου
καὶ νῦν πολούντων αἰθέρος πρὸς τὰς πτύχας.
Πᾶς γοῦν παράγων, ὡς Δαυὶδ ψάλλων γράφει,
σκηνοῦν ἐπεύχου τοῦτον εἰς ζωῆς ὕδωρ
κατατρυφῶν τε τῆς ἀειδρόσου χλόης.

111 (φ. 46α). «Ἐπὶ τρικλίνῳ νεουργηθέντι χάριν τραπέζης τῶν μοναχῶν παρὰ τοῦ βασιλέως κῦρ Μανουὴλ ἔνθα εἰκονίσθησαν σὺν αὐτῷ καὶ ὁ πάππος αὐτοῦ βασιλεὺς κῦρ Ἀλέξιος καὶ ὁ πατὴρ αὐτοῦ βασιλεὺς κῦρ Ἰωάννης καὶ ὁ Βουλγαροκτόνος κῦρ Βασίλειος».

Ἔχει ὅλον ὧδε·

Ἀν.εἶχε κραυγὴν καὶ δομημάτων φύσις,
πάντως ἂν εἶπεν ἡ μονὴ τοῦ Μωκίου
τοῦ καὶ θύτου πρὶν καὶ τυθέντος ἐν τέλει
Σαμψὼν τε πηγῆς μυριοκρούνου μύρου
ὥς ἔπλασαν με χεῖρες αὐτοκρατόρων.
Καὶ γὰρ τετρακτὺς ὧδε τῶν βασιλέων
γραφεῖσα τοὺς βλέποντας εἰς μνήμην ἄγει
ὡς πρῶτα μὲν σκήνωμα τῶν μονοτρόπων
δείκνυσι Βασίλειος αὐτὴν αὐτάναξ,
ὅς Βουλγάρων μάχαιραν ἠκονημένην
ἤμειψεν εἰς ἄροτρον ἀστέκτῳ κράτει,
Ἀλέξιος δὲ Κομνηνὸς περσοκτόνος
εἰς κοινὸν αὐτοὺς ἐγκαθιστάνει βίον,
ζωαρκὲς ἅπαν ἀφθονωτάτως νέμων,
Ἰωάννης τούτου δὲ παῖς ἐκ πορφύρας
ὁ Σκυθοπερσόλεθρος οὐ λήγει βρύων

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

εὐεργεσιῶν μυριοτρόπους λύσεις.
Βλαστὸς δὲ τούτων Μανουὴλ αὐτοκράτωρ
πορφυροθαλής, οὗ μόνον κλῆσιν τρέμει
Παίων, Ἰταλός, Δαλμάτης, Πέρσης, Σκύθης
καὶ γῆς τετραμέρεια πλουτεῖ δεσπότην,
εἰς πολλαπλοῦν μὲν τὰς δόσεις προςαυξάνει,
δωροβρυτῶν ἄπαυστα τοῖς μονοτρόποις,
τῶν δωρεῶν δὲ τὰς ὠκυρρόους φλέβας
ἀειβρυτούσας ἐμβραβεύων τῷ χρόνῳ
χρυσοσφραγίστοις συμφραγνὺς τοῖς θριγγίοις,
ναοῦ τόσην στέγην δὲ καταρραγμένην
λίτραις ἑκατὸν ἀντερείδει χρυσίου,
βάθρων δ' ἀπ' αὐτῶν τοῦτον ἱστᾷ τὸν δόμον,
ὡς ἂν, ὅτε χρὴ τὴν φύσιν τῶν σωμάτων
λύειν τι μικρὸν τῶν θεαρέστων πόνων,
τράπεζαν ἀρτύωσιν ἐν τούτῳ μίαν
εἰς ἀγάπης σύνδεσμον, εἰς ψυχῆς κρᾶσιν.
Ἀνθ' ὧν θεὸς κράτος μὲν αὐτοῦ κρατῦναι,
οἰκουμένης δοίη δὲ τὴν μοναρχίαν
ὡς σκῆπτρα θήσει παλάμαις Ἀλεξίου
τοῦ πορφυρανθοῦς ἀρτιβλαστήτου κλάδου,
εἰρηνικὴν φέροντα πάντοθεν βάσιν
μεθ' ἡλίους γέροντος εὐτυχοῦς βίου.
ὡς παντάναξ δὲ συγκατατάξαι τέλος
τοὺς βασιλεῖς εἰς βασιλείαν μίαν
αὐτοῦ τραπέζης προςλαβὼν δαιτυμόνας.

112 (φ. 46β). «Εἰς ἐγκόλπιον ἔχον μέρος τοῦ ἁγίου λίθου ἐν ᾧ μετὰ τὴν ἀποκαθήλωσιν ἔθετο τὸν Χριστὸν ὁ Ἰωσὴφ καὶ μέρος τῆς σπάθης τοῦ ἁγίου Γεωργίου».

Ἔχει ὅλον ὧδε·

Στέρνοις φέροντι τμῆμα, Χριστέ, τοῦ λίθου,
ἐν ᾧ νεκρὸν σμύρνῃ σε σινδὼν συνδέει
καὶ μάρτυρος σου τῆς σπάθης Γεωργίου
Κωνσταντίνῳ σῷ συμμάχει Μονομάχῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

113 (φ. 46β). «Εἰς εἰκόνα κοσμηθεῖσαν τῆς ἁγίας Θεοτόκου». Στ. 24.
Ἀρχ. Τοῦ σοῦ μὲν ὕψους ἄξιον κόσμου, κόρη

. . . . . . . . . . . . . . . . . . . .

σὸς οἰκέτης αἰτῶ σε Ῥογέρος Λέων
πάππου σεβαστοῦ παγκλεοῦς προηγμένος,
πατρὸς δὲ λαμπροῦ πρωτονωβελλισίμου
λατινογλώσσους ἐκμεταφράζων φράσεις.
Σὺν Εἰρήνῃ δὲ τῇ βοηθῷ τοῦ βίου,
ἧς Ἰάσεται τοῦ γένους ἀρχηγέται...
Τέλ. τρυφῆς παρ' αὐτὴν τὴν ἀείβλαστον χλόην.

114 (φ. 46β) «Ἐπὶ τάφῳ τινὸς γυναικὸς αἰφνιδίως θανούσης διὰ κυνάγχης».
Ἔχει ὅλον ὧδε·

Τερφθεὶς Ἀδὰμ φάρυγγα καρπῷ τοῦ ξύλου
θάνατον εὗρεν ἡδονῆς πικρὸν τέλος,
ὃν κλῆρον ἐκλέλοιπε τοῖς ἀπεκγόνοις [1].
Ἰωάννου γοῦν Ἀρετὴ συνευνέτις
κουροπαλάτου τοῦ Κλαυδιουπολίτου,
ὃν γνῶσις ᾠκείωσε καὶ πίστις πόθου
πρωτοσεβαστῷ πρωτοβεστιαρίῳ
αἰφνιδίᾳ φάρυγγος ἐκλείπει νόσῳ.
Ὁ δ' ἐξεγείρει τοῦτον αὐτῇ τὸν τάφον,
δάκρυσι πυκνοῖς λατομήσας τὸν λίθον.
Σὺ δ' ἀλλ' ἐπεύχου τῇ παρελθούσῃ ξένε,
καρπὸν τρυγᾶν ἄφθιτον........ [2]

115 (φ. 46β). Ἐπὶ πατελίῳ χρυσῷ γεγονότι παρὰ τοῦ σεβαστοῦ τοῦ Καλαμάνου καὶ δοθέντι τῷ ἁγίῳ ἡμῶν βασιλεῖ [ἔχοντι] εἰκονισμένα διάφορα κατὰ [βαρβάρων;] τρόπαια». Στίχοι 22.
Ἀρχ. ..... ἐκ Δαυὶδ προσλαμβάνειν
κράζει Μανουὴλ αὐτάνακτος τὸ κράτος

. . . . . . . . . . . . . . . . . . . .

[1] ἀπεκτόνοις
[2] Τὸ τέλος τοῦ στίχου ἀμυδρὸν μέχρις ἀφανείας.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

.....φας σεβαστὸς Δουκόπαις...
. . . . . . . . . . . . . . . . . .

116 (φ. 47α). «Ἐπιμερισμοὶ σὺν θεῷ τοῦ Ψαλτῆρος ἀπὸ φωνῆς **Γεωργίου** διδασκάλου τοῦ ἐπίκλην **Χοιροβοσκοῦ**».

Πολλὰ τὰ κενὰ ἐν μέσῳ τῷ κειμένῳ ἕνεκεν ἀφανείας τῶν οἰκείων χωρίων ἐν τῷ ἀντιβολαίῳ, καθ' ἃ φαίνεται.

117 (φ. 88α). «Νουθεσίαι **Ἰγνατίου** καὶ **Βαβριχίου**».

Ἕνδεκα ἐν ὅλῳ τετράστιχοι μῦθοι, ὧν ὁ πρῶτος ἄρχεται

Χηλῇ[1] βοὸς πατεῖτο βατράχου τέκος.

Προηγεῖται δὲ τοῦ πρώτου τούτου μύθου τὸ ἐπιμύθιον Μεγίστοις μὴ συνεκτείνεσθαι.

118 (φ. 88α). «Τοῦ **Βουλγαρίας [Θεοφυλάκτου]** εἰς τὸν φιλολογώτατον Ἀαρὼν κεκαθικότα αὐτὸν εἰς τὴν τένταν αὐτοῦ».

Ἔχει ὅλον ὧδε·

Σκηνῆς Ἀαρὼν τῆς πάλαι προεστάτει
λειτουργὸς ὢν ἔναιμος ἐκ τῶν θυμάτων.
Σκηνὴν δὲ νῦν ἔπηξεν Ἀαρὼν νέος
εἰς ἣν καλῶν ἅπαντας ἐνδεεῖς στέγος
θύει τὸ φιλάνθρωπον ἁγνὴν θυσίαν
ζωοῦσαν, οὐ σφάττουσαν οὓς ἂν προςλάβοι
φ. 88α ‖Ὁ γὰρ λόγος δέδωκεν αὐτῷ τὴν χρίσιν,
οὐ νεκροποιὸς δ' ἐστὶν ὃν χρίει λόγος.

119 (φφ 88α). **[Τοῦ αὐτοῦ]** «Ἕτεροι».

Τὴν σαρκικὴν γέννησιν Ἀαρὼν πάλαι
ἐξ Ἀβραὰμ ἔσχηκε τοῦ φιλοξένου·
ὁ νῦν δ' Ἀαρὼν τῷ φιλοξένῳ τρόπῳ
σκηνῆς ἑαυτοῦ πάντας ἔνδον εἰςάγων
ἐξ Ἀβραὰμ ἔσχηκε τὸν κρείττω τόπον.

120 (φ. 88β). **[Τοῦ αὐτοῦ]** «Εἰς μοναχὸν Μουζάλωνα σιωπῶντα».

Ἐγράφη τὸ πρῶτον χολῆ εἶτα δὲ τὸ ο διωρθώθη εἰς ἐρυθρὸν π.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΓ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Σιγᾷς, πάτερ βέλτιστε, μηδέν μοι γράφων.
Εὖ δρᾷς· σιώπα· καὶ γὰρ ἐξ ἐπωνύμου
ἄφωνος ἰχθὺς καὶ δοκεῖς καὶ τυγχάνεις.

121 (φ. 88α). Γνωμικὰ ἀνεπίγραφα.

Τὰ πρῶτα εἰς πεζὸν λόγον, ὧν τὸ πρῶτον ἔχει ὧδε· Αἱ σωματικαὶ ἀπολαύσεις πλέον τὸ ὀδυνηρὸν ἔχουσι τοῦ ἡδέος. Φαίνονται δὲ γεγραμμένα κατὰ τάξιν ἀλφαβητικὴν τῆς προεχούσης ἐν τῷ κειμένῳ λέξεως (ἀπολαύσεις - ἀὴρ - ἄριστον - ἀπόλαυε). Εἶτα δ' ἕπονται γνωμικὰ ἐκ τριῶν ἢ πλειόνων στίχων, γεγραμμένα κατὰ τρεῖς σελίδας καὶ ἐν τάξει ἀλφαβητικῇ ἀπὸ τοῦ α μέχρι τοῦ ω. Τούτων τὸ πρῶτον ἄρχεται ὧδε·

'Αεί γε, ὡς ἔοικεν, αἱ περιστάσεις.

'Εν τῇ ᾤᾳ περὶ τὸ μέσον τῆς σελίδος **Θεολόγου, Αἰσώπου, Βαβρίου.**

122 (φ. 89α). «Στίχοι τοῦ γεγονότος χαρτοφύλακος νομοφύλακος πρώτου τῶν Βλαχερνῶν καὶ πρωτοσυγκέλλου κυροῦ **Θεοδώρου τοῦ Βαλσαμῶν,** μετὰ δέ τινα χρόνον καὶ πατριάρχου 'Αντιοχείας εἰς τὸν 'Ιωσὴφ ἀπογυμνούμενον τὴν αἰσθῆτα παρὰ τῆς γυναικὸς τοῦ Πεντεφρῆ ὡς ἐρωτομανούσης». Στίχοι 7.

Ἀρχ. Ἡ σωφροσύνη, κἂν κνίσκῃ πικρίαν.

'Εξεδόθη ὑπὸ *Horna* Die Epigramme des Theodoros Balsamon ἐν τοῖς Wiener Studien Τόμ ΚΕ' (1903) σ. 178 ἀρ. I.

123-160 (φ. 98α). [**Τοῦ αὐτοῦ**] Ἄλλα ἐπιγράμματα. Μεταξὺ τούτων καὶ τάδε·

α' (φ. 90β). «Εἰς τάφον τοῦ σκευοφύλακος κῦρ 'Ιωάννου τοῦ 'Αγιοφλωρίτου[1]».

Ἀρχ. Ὅσα θεὸς γέγραφεν εἰς λίθων πλάκας.

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 186 ἀρ. XV.

β' (φ. 91α). «Εἰς εὐνουχόπουλον».

Ἀρχ. Μυρμηκοφυὲς ἐνδεδυμένος δέμας.

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 187 ἀρ. XXI.

[1] Ὁ *Horna* παραγίγνω ἁγίου Φλωρίτου.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γ´ (φ. 91α). «Εἰς ἐπικέρνην μακρόν, ὡς ἀπὸ τοῦ εὐνουχοπούλου».
Ἀρχ. Γιγαντοφυὲς ἐνδεδυμένος δέμας.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 188 ἀρ. XXII.
Εἶτα δ' ἐν συνεχείᾳ τὰ ἑξῆς·
δ´ (φ. 91α). «Στίχοι ἐκδοθέντες τῷ εὐνουχοπούλῳ».
Ἀρχ. Κρίθινον ἄρτον οὐκ ἔσθουσι τὰ βρέφη.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 188 ἀρ. XXIII.
ε´ (φ. 91α). «Εἰς ἁγίαν εἰκόνα τοῦ ἁγίου Θεοδώρου τοῦ στρατηλάτου».
Ἀρχ. Ἐγκάρδιον πῦρ ἀστραπηφόρου πόθου.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 188 ἀρ. XXIV A.
ς´ (φ. 91α). «Εἰς τὴν αὐτὴν ἁγίαν εἰκόνα».
Ἀρχ. Πῦρ δρόσος δύσμαχον αὐχοῦσι κρᾶσιν.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 189 ἀρ. XXIV B.
ζ´ (φ. 91α). «Εἰς τὸ εὐνουχόπουλον».

Βλέπω σε, τέκνον, μὴ τρέμοντα τὴν μάχην,
. . . . . . . . . . . . . . . . . . . . .
Ἀντιλαβοῦ μοι καὶ νίκη[ς] σῆς[1] τὸ κλέος
. . . . . . . . . . . . . . . . . . . . .

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 190 ἀρ. XXV.
η´ (φ. 92α). «Εἰς τὸν θεῖον ναὸν τοῦ οἴκου[2] τοῦ λογοθέτου τὸν ποτὲ[3] ὄντα λουτρόν».
Ἀρχ. Πίστις μελιτώσασα πηγῶν πικρίας.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 190 ἀρ. XXVI.
θ´ (φ. 92α). «Εἰς τὸν ἱστορηθέντα βασιλέα κῦρ Ἰσαάκιον ἐντὸς τοῦ ἁγίου λούματος τῆς ἁγίας Θεοτόκου τῆς Ὁδηγητρίας».
Ἔχει ὅλον ὧδε·

Τὸ σφαιροειδὲς τοῦτο θερμοκεντρίον
λόγος μὲν οὐράνωσεν αὐτοκρατόρων,
χρόνος δ' ἀπημαύρωσεν ἀπαντοφθόρος[4].

[1] νίκησῆς Γραπτίον νίκης σῆς. Ὁ *Horna* ἐξέδωκε νίκης ἧς, οὐδὲν σημειόνων περὶ τῆς γραφῆς τοῦ κώδικος.
[2] Ὁ *Horna* παρέλειψε τὰς λέξεις τοῦ οἴκου.
[3] Ὁ *Horna* γράφει τόν ποτε.
[4] Ἡ λέξις ἀπαντοφθόρος ἀντὶ τοῦ ἐν τῷ Βαρβερινῷ κώδικι ὁ παντοφθόρος ἀπαντᾷ καὶ ἐν τῷ ἐνάτῳ στίχῳ τοῦ κατωτέρω ὑπ' ἀρ. ιζ' ἐπιγράμματος ἐν φ. 94α τοῦ κώδικος.

Επ. Ζώτης Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κἂν γὰρ Σολομώντειον εἶχεν ἀψῖδα,
πηγὴν Σιλωὰμ ἀπὸ θερμῶν ὑδάτων,
καὶ θαυματουργόβρυτον ἐν νόσοις φρέαρ,
ἀλλ᾽ ὁ βριαρὸς θυμολευστήσας χρόνος
ἀπραξίας χάλαζαν οὐ μετρουμένην
τὰς ῥυπτικὰς ἔπαυσεν αὐτῶν δυνάμεις·
οὐκ ἦν γάρ, ὡς ἔοικεν, ἀγγέλου χάρις,
τὴν ψυχροποιὸν ἐξάγουσα κακίαν
καὶ θερμοποιὸν εἰςάγουσα χρυσίον.
Οὕτω δὲ τούτων δυςτυχῶς πεπραγμένων,
ἔδει τὰ πεμπέλια τοῦ χρόνου θράση
ὥςπερ τὰ ταντάλεια συμπάσχειν πάθη
καὶ τὰ φονευτήρια τῶν νόσων βέλη
ὡς κοσμοσωτήρια συντρέχειν πάλιν.
Ἐξῆλθε λοιπὸν ἐκ Σιὼν σωτηρία
πιστὸς βασιλεὺς ἀλλήλων πρωτοστάτης,
οὐ τόξα χαλκᾶ καὶ σιδηρᾶ συντρίβων,
ὥςπερ κατεσπάθεσε τὴν τυραννίδα,
ἀλλὰ ποταμοὺς ὑπομετρῶν χρυσίου
καὶ τὰς παλαιὰς ἐκπλύνων λεβηρίδας.
Λούσασθε τοίνυν, καθαροὶ γίνεσθέ μοι
καὶ πᾶσαν ἐκδύθητε αἰσχροπραξίαν.
Ζωὴν πολυχρόνιον αἰτήσασθέ μοι
τῆς βασιλικῆς ἀγγελοπροστασίας.

Ἐξέδωκα μετά τινων ὀλίγων διαφορῶν ἐκ τοῦ Βαρβερινοῦ κώδικος 74 τῆς Βιβλιοθήκης τοῦ Βατικανοῦ τοὺς μόνους ἐν αὐτῷ σωζομένους δώδεκα πρώτους στίχους ἐν Νέῳ Ἑλληνομνήμονι Τόμ. Ζ´ σ. 484. Τὸ δὲ ὅλον ἐξέδωκεν ὁ *Horna* ἔνθ᾽ ἀν. σ. 190 ἀρ. XXVII.

ι´ (φ. 92α). «Εἰς τυπικὸν τῆς μονῆς τοῦ σεβαστοῦ καὶ προκαθημένου κῦρ Ἀνδρονίκου Ῥογερίου τῆς λεγομένης Χρυσοκαμαριωτίσσης».

Ἔχει ὅλον ὧδε·

Οὐράνιον μὲν ἀκτινοτρόφον πόλον
ἡ παντοποιὸς οὐράνωσεν οὐσία,
κατάστερον δὲ σατανοκτόνον δόμον
καὶ πλουτοποιὸς δημιουργεῖ πολλάκις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὅθεν σεβαστὸς Ἀνδρόνικος, οὗ γένος
ἐστὶ περιβόητον ἐκ Ῥογερίων
ὡς μὲν στύλον σώζοντα τοὺς πλανωμένους
μονὴν ἀνεστήλωσε τοῖς μονοτρόποις,
ὡς δὲ πλάκας γράφουσαν ἁγίους νόμους
ἐδακτυλογράφησε πατέρων τύπους.
Ὅσοι τὸ λοιπὸν ἠξιώθητε βλέπειν
στύλου νοητοῦ φωταγωγοὺς λαμπάδας
καὶ κτιτορικὰς τυπικογράφους πλάκας
μὴ συντριβῆναι τὰς πλάκας εὔχεσθέ μοι
τῇ μοσχοποιῷ τοῦ νόμου παραβάσει.
Οὕτω γὰρ ἂν λάβοιτε καὶ γῆν πραέων
σωτηρίαν βρίθουσαν, οὐ κόκκων στάχυς.

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 191 ἀρ. XXVIII.

ια' (φ. 92ᵇ). «Εἰς ἅγιον Δημήτριον εὑρεθέντα παρὰ τοῦ βασιλέως εἰς τὴν οἰκίαν τοῦ ἀποστάτου Σθλαβοπέτρου».

Ἔχει ὅλον ὧδε·

Μαρτυρικὰ στέμματα καὶ νίκης γέρα
καὶ δοξοποιοὺς τῶν ἀθλητῶν μανδύας
ἢ τὸ Χερουβὶμ καὶ Σεραφὶμ ὑφαίνοι
ἢ παντοποιὸς ἀποχαλκεύσοι λόγος.
Οὗτος γὰρ ἀκίβδηλον ἐστὶ χρυσίον,
ἄργυρος ἁγνὸς κατὰ τὴν ψαλμῳδίαν,
ἀνθρωπίνη δὲ πλουτοφανὴς παλάμη
ἀδυνατεῖ σκάμματα μετρεῖν μαρτύρων
καὶ χρυσοδιψᾶν ἀνταμοιβὰς ἀξίας.
Ὅθεν σε, Δημήτριε, μαρτύρων κλέος,
θετταλικὴ πάγχρυσε φωτολυχνία
καὶ κοσμικὴ πάμπλουτε θαυματουργία,
οὐρανοβασίλειον αὐχοῦντα κράτος
ἀδυνατῶ στέμμασι μαρτύρων στέφειν.
Φθαρτὸς γὰρ εἰμὶ καὶ γεηρᾶς οὐσίας,
κἂν ἀγγελικὸν σεμνύνῃ με σαρκίον,
κἂν σύντροφος τρέχῃ με τοῦ μένους κνίδη,
κἂν βασιλικὴν ἐνδέδυμαι πορφύραν.

κἀντεῦθεν εἰς πλοῦν δεύτερον, τὸ τοῦ λόγου,
τὴν εὐχαριστήριον ὁλκάδα τρέπων
φωτί σε μικρῷ τὸν γίγαντα λαμπρύνω.
Εὑρών σε καὶ γὰρ ἐν σκότει κεκρυμμένον
ἀποστατικῆς λιθοκαρδίου τύχης
ὡς ἐξ ἀκανθῶν εὐθαλέστατον ῥόδον,
ὡς ἐκ λίθου λάμποντα λυχνίτην λίθον,
ὡς ἐκ πέτρας πότιμον ἀνθρώποις ὕδωρ
ζητῶ σε καὶ ποθῶ σε τὸν μαργαρίτην.
Οὕτω δὲ πλουτήσας σε προστάτην μέγαν
ἐν ταῖς κατ' ἐχθρῶν συμπλοκοστρατηγίαις
οὐκ ἰδιοῦμαι τὴν χάριν ὑπὸ φθόνου,
οὐκ ἐν μεδίμνῳ συγκαλύπτω σε σκότους,
ἀλλ' εἰς κεφαλὴν Ἰωνίας τίθημί σε,
πάσῃ δὲ φυλῇ παραμετρῶν τὴν χάριν
στηλογραφῶ σοι τὴν πόλιν τῶν θαυμάτων
εἰς τὰς νοητὰς τοῦ παραδείσου πύλας
καὶ κοσμοποιῶ τὸν λύχνον τῆς ἑσπέρας
εἰς οὐρανοκρότητον αὐτολυχνίαν.
Αὐτοκράτωρ γέγραφε πιστός σοι τάδε
ἄναξ Ἰσαάκιος αὐσονοκράτωρ
ἐξ Ἀγγελικῆς ὀσφύος κατηγμένος.

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 192 ἀρ. XXIX.

ιβ' (φ. 92β). «Εἰς ἀπλαδαρέαν[1] πατριαρχικοῦ κελλίου ἔχουσαν σταφυλάς». Στίχοι 8.

Ἀρχ. Γεῦσις ξύλου πίδακας ἀντλεῖ θανάτου.

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 103 ἀρ. XXX.

ιγ' (φ. 92β). «Εἰς νερατζέαν[2] τῆς μονῆς [τῶν] Ἀργυρῶν[3] καυθεῖσαν ὑπὸ χειμῶνος».

Ἔχει ὅλον ὧδε·

Τοὺς ἀπὸ φυτῶν ἐσχάτους βεβλαμμένους

[1] Ὁ *Horna* παρανίγνω ἀναδενδράδα.

[2] Ὁ *Horna* παρανίγνω νέραντζαν.

[3] Ὁ *Horna* ἀνέγνω τοῦ Ἀργυροπώλου γράφων ἐν ταῖς κριτικαῖς σημειώσεσιν ἀργυρῶ supra sc. ν π.

Ε.Υ. Δήμης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

προπατόρων ἔβλαψε γαστριμαργία.
Φυτὸν γὰρ αὐτὸ καθ' ἑαυτὸ τὴν φύσιν
οὐκ ἔστι κακὸν οὐδὲ πρὸς βλάβην ῥέπει.
Τί γοῦν παρών, κάκιστε χειμών, ἐνθάδε
πρὸς φυτὸν ἐξέτεινας ἀδίκους κόρας
καὶ κατὰ γῆς ἔρριψας αὐτοῦ τοὺς κλάδους
καὶ κατὰ γοῦν τέθεικας αὐτοῦ τὴν χάριν;
Ἔοικεν οὖν, ὡς ἔοικεν, ὡς φθόνου ξίφος
τὴν χάριν ἐξέτιλλεν αὐτοῦ προσφάτως.
φ. 93α φυλλοκτόνος γάρ, οὐ φυτοκτόνος τρέχων
τὸν ζωδιακὸν αὐχένα τοῦ Τοξότου
ἔσπευδες αὐτῆς ἐκτεμεῖν τὰς φυλλάδας·
ὡς δ' εἶδες αὐτὴν ἀντιπαλαμωμένην
καὶ ἀνθολευστοῦσαν[1] σε καρπίμοις λίθοις
καὶ κατακεντοῦσαν σε φυλλάδων βέλει,
οὐκ ἀφ' ἑαυτοῦ τὴν μάχην καταρτίζεις,
ἀλλὰ βοηθὸν λαμβάνεις στεγανοπὸν[2]
τὸν ἀρκτικὸν κρύσταλον ὡς λίθον μέγαν
κἀντεῦθεν ὡς ἄκανθαν ἢ φαύλην κνίδην
τὴν ψυχαγωγὸν τῆς μονῆς ταύτης δρόσον
νιφάσι λεπταῖς καταπιμπρᾷς ἀδίκως.
Ἀλλά, ψυχρὲ κρύσταλε καὶ γέρον φθόνε,
καὶ χειμερινὴ παγετοξυμμαχία,
τὰ πολλὰ μὲν φαίνοισθε κατεπηρμένοι.
Ὅσον γὰρ ἤδη τοῦ φθόνου τὰς νιφάδας
ἐαριναὶ σβέσουσι λαμπαδουχίαι
καὶ στρατιὰς κρύψουσιν ἀμνησικάκων[3]
καὶ τοῦ φυτοῦ λάμψειεν ἡ χάρις πάλιν.

Ἴδε *Horna* ἔνθ' ἀν. σ. 193 ἀρ. XXXI.

ιδ' (φ. 93α). «Στίχοι γραφέντες εἰς τὸ διὰ τοῦ λίθου ἔδικτον τοῦ κυρωθέντος δόγματος παρὰ τοῦ βασιλέως κῦρ Μανουὴλ καὶ ἀναστηλωθέντος ἐντὸς τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας».

1 Ὁ *Horna* παρανέγνω λιθολευστοῦσαν.
2 Ὁ *Horna* διώρθωσε στεγανόπουν, οὐδὲν σημειώσας.
3 Ὁ *Horna* διώρθωσεν αὖ μνησικάκων, σημειώνων τὴν γραφὴν τοῦ κώδικος.

ΕΚ Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀρχ. Ὁ λίθος οὗτος λυχνίτης ἐστὶ λίθος.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 194 ἀρ. XXXII.

ιε' (φ. $93^{\beta}$). «Στίχοι γραφέντες εἰς εἰκόνα τῆς ἁγίας Θεοτόκου κρεμασθεῖσαν εἰς τὴν μονὴν τοῦ ἁγίου Τρύφωνος».
Ἀρχ. Φῶς ἡλιακὸν οὐκ ἀποκρύπτει νέφος.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 196 ἀρ. XXXIII.

ις' (φ. $93^{\beta}$). «Εἰς τυπικὸν γυναικείας μονῆς».
Ἀρχ. Τὴν μωσαϊκὴν καταφωτίσας τρίβον.
Ἴδε *Horna* ἔνθ' ἀν. σ 196 ἀρ. XXXIV.

ιζ' (φ. $93^{\beta}$). «Εἰς τὸν ἅγιον Τρύφωνα».
Ἀρχ. Τῶν μαρτυρικῶν κατατρυφήσας πόνων.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 197 ἀρ. XXXV.

ιη' (φ. $93^{\beta}$). «Εἰς τὴν μονὴν τῶν Ζιπῶν».
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 197 ἀρ. XXXVI.
Ἀρχ. Χεὶρ πλουτοποιὸς βασιλικῆς ἀξίας.

ιθ' (φ. $94^{\alpha}$). «Εἰς τὸ κελλίον αὐτοῦ».
Ἀρχ. Ἴσως θεατὰ φωλεὸν κύκνου βλέπων.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 198 ἀρ. XXXVII.

κ' (φ. $94_{\alpha}$). Ἀνεπίγραφον.
Ἀρχ. Πιστὸς βασιλεὺς καὶ θεοῦ πατρὸς λόγος.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 199 ἀρ. XXXVIII.

κα' (φ. $74^{\alpha}$). «Εἰς τὸ παρ' αὐτοῦ συντεθὲν νομοκάνονον πρὸς τὸν ἁγιώτατον πατριάρχην κῦριν Γεώργιον τὸν Ξιφιλῖνον».
Ἀρχ. Τὰς κανονικὰς εὐσεβεῖς παραδόσεις.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 199 ἀρ. XXXIX.

κβ' (φ. $64^{\alpha}$). «Εἰς τὸν Αἰθίοπα Μωσῆν λογαριασθέντα καὶ λυπούμενον».
Ἀρχ. Ἄπασα λοιπὰς λειποθυμίας.
Ἴδε *Horna* σ. 199 ἀρ. XL.

κγ' (φ. $94^{\alpha}$). «Εἰς εὐνουχοπουλίδιον ἄρξασθαι μέλλον σχεδογραφίας».
Ἀρχ. Τὴν κνιδοχορτόπλουτον.
Ἴδε *Horna* ἔνθ' ἀν. σ. 200 ἀρ. XLI.

κδ' (φ. $94^{\alpha}$). «Εἰς νιπτῆρα ἔνδον δημοσιακοῦ λουτροῦ τῆς μονῆς τῶν Ὁδηγῶν».
Ἀρχ. Χεῖρες θεοῦ νίπτουσιν οἰκέτου πόδας.
Ἴδε *Horna* σ. 200 ἀρ. XLII.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΙΔΑΓΩΓΙΚΗΣ ΚΑΙ ΨΥΧΟΛΟΓΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΟΜ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επ. Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

161 (φ. $96^{α}$) Ἀνεπίγραφον ποίημα στίχων 268, πιθανῶς ἀτελές.

Ἀρχ. Ἄρτι θρασούσης ἐκφυγὼν ζάλη ῥόθους
καὶ τὴν ἐπαφρίζουσαν ἅλμην πραγμάτων.

Τὸ φ. $96^{β}$ ὅλον ἄγραφον.

162 (φ. $97^{α}$) **Νικολάου Καλλικλέους** Ἐπιγράμματα

α´ (φ. $97^{α}$). «Εἰς τὸν πέπλον τὸν κρεμασθέντα παρὰ Ἰωάννου σεβαστοῦ τοῦ Ἀρβαντηνοῦ εἰς τὴν ὑπεραγίαν Θεοτόκον τὴν Ὁδηγήτριαν **τοῦ Καλλικλέος**».

Ἐξεδόθη ὑπὸ τοῦ ἐν Κρακοβίᾳ καθηγητοῦ *Leo Sternbach* ἐν τῇ συγγραφῇ Nicolai Calliclis Carmina. Ἐν Τόμῳ XXVI Dissertationes philologicae Classis Academiae Literarum Cracoviensis σ. 325 καὶ ἐν χωριστῷ τεύχει. (Ἐν Κρακοβίᾳ. 1903) σ. 13 ἀρ. XI.

β´ (φ. $97^{α}$). «Εἰς τὴν εἰκόνα τοῦ Σωτῆρος τὴν κοσμηθεῖσαν ὑπὸ τοῦ βασιλέως καὶ ἀνατεθεῖσαν τῇ μονῇ τοῦ Παντοκράτορος».

Παρὰ *Sternbach* σ. 326 (14) ἀρ. XII.

γ´ (φ. $97^{β}$). «Εἰς τὴν σταύρωσιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ ἁγίου Πέτρου».

Παρὰ *Sternbach* σ. 327 (15) ἀρ. XIII.

δ´ (φ. $97^{β}$). «**Τοῦ αὐτοῦ** εἰς τὸν ἅγιον Γεώργιον ἐν λευκῷ λίθῳ τυπωθέντα».

Παρὰ *Sternbach* σ. 320 (8) ἀρ. IV.

ε´ (φ. $97^{β}$). «Ἕτερον».

Παρὰ *Sternbach* σ. 320 (8) ἀρ. V.

ϛ´ (φ. $97^{β}$). «Εἰς τὸν Χριστὸν κοσμηθέντα παρὰ τοῦ κῦρ Ἰσαακίου διὰ χρυσοῦ καὶ λίθων».

Παρὰ *Sternbach* σ. 328 (16) ἀρ. XIV.

ζ´ (φ. $97^{β}$). «Εἰς τὴν εἰκόνα τὴν ἱσταμένην ἄνω τοῦ τάφου τοῦ σεβαστοῦ κυροῦ Ἀνδρονίκου».

Παρὰ *Sternbach* σ. 324 (12) ἀρ. VIII.

η´ (φ. $98^{α}$). «**Τοῦ αὐτοῦ** Εἰς τὰς ἑπτὰ συνόδους τοῦ Χριστοῦ μέσον ἱσταμένου».

Παρὰ *Sternbach* σ. 329 (17) ἀρ. XV.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θ' (φ. 98α). «**Τοῦ αὐτοῦ** Εἰς τὴν Θεοτόκον κοσμηθεῖσαν παρὰ τοῦ βασιλέως».

Παρὰ *Sternbach* σ. 329 (17) ἀρ. XVI.

ι' (φ. 98β). «Εἰς τὸ κανκίον δοθὲν παρὰ τῆς πορφυρογεννήτου κυρᾶς Εὐδοκίας τῷ πατρὶ αὐτῆς τῷ βασιλεῖ ἡμῶν τῷ ἁγίῳ».

Παρὰ *Sternbach* σ. 331 (19) ἀρ. XVII.

ια' (φ. 98β). «Ἕτερον ἀνεπίγραφον εἰς τὸ αὐτό.

Παρὰ *Sternbach* σ. 331 (19) ἀρ. XVIII.

ιβ' (φ. 98β) «**Τοῦ αὐτοῦ** Εἰς τὸν Χριστὸν ἱστάμενον ἐπὶ τῷ τάφῳ ὡς ἐκ προσώπου ἀμφοτέρων τοῦ τε λογοθέτου καὶ τῆς συμβίου αὐτοῦ κυρᾶς Εἰρήνης μετὰ μοναχικοῦ σχήματος ἱσταμένων».

Παρὰ *Sternbach* σ. 332 (20) ἀρ. XX.

ιγ' (φ. 99α). «Εἰς τὴν Ὁδηγήτριαν **τοῦ αὐτοῦ**».

Παρὰ *Sternbach* σ. 332 (20) ἀρ. XX.

ιδ' (φ. 99α). «**Τοῦ αὐτοῦ** Εἰς τὸν τάφον τοῦ Καματηροῦ λογοθέτου».

Παρὰ *Sternbach* σ. 333 (21) ἀρ. XXI.

ιε' (φ. 99α). «**Τοῦ αὐτοῦ** Εἰς τὴν Δοκειανὴν ὡς ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς».

Παρὰ *Sternbach* σ. 334 (22) ἀρ. XXII.

ις' (φ. 100α). «Εἰς τὴν εἰκόνα τοῦ Σωτῆρος τὴν κοσμηθεῖσαν παρὰ τῆς σεβαστῆς κυρᾶς Ἄννης τῆς Δουκαίνης».

Παρὰ *Sternbach* σ. 337 (25) ἀρ. XXIII.

ιζ' (φ. 100α). «**Τοῦ αὐτοῦ** Εἰς τὴν ἐν τῷ παλατίῳ δευτέραν παρουσίαν».

Παρὰ *Sternbach* σ. 337 (25) ἀρ. XXIV.

ιη' (φ. 100α). «**Τοῦ αὐτοῦ** Εἰς τὸ χρυσοῦν κουβούκλειον».

Παρὰ *Sternbach* σ. 337 (25) ἀρ. XXV.

ιθ' (φ. 100β). «Εἰς τὸν ὀξεόχρυσον πέπλον τὸν κρεμασθέντα ἐν τῇ Ὁδηγητρίᾳ παρὰ τῆς σεβαστῆς κυρᾶς Ἄννης, τῆς συζύγου τοῦ σεβαστοῦ Ἰωάννου τοῦ Ἀρβαντηνοῦ».

Παρὰ *Sternbach* σ. 340 (28) ἀρ. XXVI.

κ' (φ. 100β). «Εἰς τὸν σταυρὸν τὸν κοσμηθέντα παρὰ τῆς πορφυρογεννήτου κυρᾶς Εὐδοκίας».

Παρὰ *Sternbach* σ. 319 (7) ἀρ. I.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΒΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κα΄ (φ. 101α). «Εἰς τὸν τάφον τῆς δεσποίνης».

Παρὰ *Sternbach* σ. 341 (29) ἀρ. XXVII.

κβ΄ (φ. 101α). «Εἰς τὰ ῥόδα».

Παρὰ *Sternbach* σ. 342 (30) ἀρ. XXVIII.

κγ΄ (φ. 102α). «Εἰς τὸν Σμυρναῖον ἐκφράσαντα τὸν τελευτήσαντα υἱὸν τοῦ πρωτοστράτορος».

Παρὰ *Sternbach* σ. 347 (35) ἀρ. XXIX.

κδ΄. (φ. 102α). «Οἱ παρόντες στίχοι ὑγιαίνοντος τῇ τοῦ θεοῦ χάριτι τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως Ἰωάννου πορφυρογεννήτου τοῦ Κομνηνοῦ ἐγένοντο κατ' ἐντολὴν ἐκείνου ὡς ἐπὶ τῷ τάφῳ αὐτοῦ γραφησόμενοι».

Παρὰ *Sternbach* σ. 348 (36) ἀρ. XXX.

163 (φ. 103β). «**Τοῦ Προδρόμου** Εἰς εἰκόνα ἔχουσαν τὸν Χριστὸν ἱστορημένον». Στίχοι 30.

Ἀρχ. Ἂν ἡ θεία χεὶρ οἶδε καὶ τύπους γράφειν
ἡ πρὶν βροτοὺς γράψασα πλαστικοῖς νόμοις.
Τέλ. φρουρῶν τὰ τέκνα, τὴν τεκοῦσαν συσκέπων,
τὴν ἀπὸ Δουκῶν ἱκέτιν σου Μαρίαν,
καὶ τῆς ἐκεῖθεν ἀξιῶν κληρουχίας.

164 (φ. 103β). «**Τοῦ αὐτοῦ** εἰς ἄνθρακα ἐπιστολὴ πρὸς τὸν κανικλείου». Στίχοι 42.

Ἀρχ. Ἄκουσον ἄνθραξ τοῦ βασιλείου στέφους
καὶ λαμπροφανὲς ὄμμα τῆς γερουσίας.
φ. 104α Τέλ. ‖ὅδ' ἐκριπισθεὶς τῶν φιλοίκτων ἀνθράκων
τους μὲν ῥιπίζοι, τοὺς δ' ἐμοὺς σβεννὺς φθάνοι.

165 (φ. 104α). «**Τοῦ αὐτοῦ** Εἰς ἐγχείριον τῆς Ὁδηγητρίας». Στίχοι 17.

Ἀρχ. Ἔνδον μὲν ἡ σὴ πᾶσα δόξα, Παρθένε.

166 (φ. 104α). «Εἰς τὸν Κυριακὸν καὶ Θεόδωρον τοὺς θυμελικοὺς ἀποκαρέντας».

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἔχει ὅλον ὧδε·

Οἱ πάλαι πρὶν τέρψαντες ἡμᾶς ἐν βίῳ
φυγῇ βίου τέρπουσι νῦν θεὸν λόγον.

167 (φ. 104α). [**Χριστοφόρου τοῦ Μυτιληναίου**] «Εἰς τοὺς μοναχοὺς τῆς μονῆς τοῦ Μανουήλ».

Ἀρχ. Αὐτοὶ λαλεῖτε πῶς καλεῖν ὑμᾶς δέον.

Ἐκδεδομένον παρὰ *Kurtz* Die Gedichte des Christophoros Mitylenaeos σ. 82 ἀρ. 120.

168 (φ. 104α). [**Τοῦ αὐτοῦ**]. Εἰς τὸν ἅγιον Ἰακὼβ τὸν Πέρσην».

φ. 104β. Ἀρχ. „Καὶ τῶν μελῶν ἕν, μάρτυς, εἰ πέπονθέ σοι.

Παρὰ *Kurtz* σ. 82 ἀρ. 121.

169 (φ. 104β). [**Τοῦ αὐτοῦ**]. «Εἰς τὴν γέννησιν τοῦ Χριστοῦ».

Ἀρχ. Ποίμνης βροτείας τὸν καλόν σε ποιμένα.

Παρὰ *Kurtz* σ. 86 ἀρ. 123.

170 (φ. 104β). [**Τοῦ αὐτοῦ**]. «Εἰς τὸν μύρμηκα».

Ὁ πρῶτος καὶ ὁ τρίτος στίχος ἀφανεῖς κατὰ τὸ ἥμισυ».

Ἀρχ. Τὸν νοῦν ὁ μύρμηξ, τὸ βραχὺ ζῷον, μέγας.

Παρὰ *Kurtz* σ. 87 ἀρ. 125.

171 (σ. 104β). [**Τοῦ αὐτοῦ**] «Εἰς τὴν Ἀνάληψιν».

Ἀρχ. Ἐκ γῆς ἀπαίρεις εὖ τοὺς τῆς γῆς θεὶς λίαν.

Παρὰ *Kurtz* σ. 87 ἀρ. 126

172 (φ. 104β). [**Τοῦ αὐτοῦ**] «Εἰς τὸν ἐξωνηθέντα βόλον τοῦ δικτύου παρ' αὐτοῦ».

Ἀρχ. Ἀναπλέων χθὲς πρὸς τὴν Προποντίδα.

Παρὰ *Kurtz* σ. 87 ἀρ. 127.

173 (φ. 104β). [**Τοῦ αὐτοῦ**] «Εἰς τινα εἰπόντα βδελύττεσθαι τὰ πηλὰ καὶ διὰ τοῦτο τῆς οἰκίας μὴ ἀπιέναι».

Ἀρχ. Πηλὸν βδελύττῃ καὶ μένεις ἔνδον δόμου.

Παρὰ *Kurtz* σ. 90 ἀρ. 132.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

174 (φ. 104α). [**Τοῦ αὐτοῦ**] «Εἰς τὸν κατορύττοντα τὸ χρυσίον πλούσιον».

Ἀρχ. Πρὸς [μν]ᾶς κεχηνὼς ὡς γαλῆ τις πρὸς στέαρ.

Παρὰ *Kurtz* σ. 91 ἀρ. 134.

175 (φ. 104β). Ἀνεπίγραφον εἰς ἁγίαν Βαρβάραν. Στίχοι 6.

Ἀρχ. Ἄστοργε πάτερ Βαρβάραν τεμὼν ξίφει.

176 (φ. 104β). Ἕτερον εἰς τὴν αὐτήν. Στίχοι 6.

Ἀρχ. Σὺ μὲν τὸ πῦρ Ἥφαιστον ἐξυμνῶν λέγεις.

177 (φ. 104β). Ἕτερον εἰς τὴν αὐτήν. Στίχοι 6.

Ἀρχ. Ὤφθης μυσαρὸς αὐτόχειρ πατὴρ τέκνου.

178 (φ. 104β). Ἕτερον εἰς τὴν αὐτήν. Στίχοι 6.

Ἀρχ. Ἦν ἂν τὸ κρεῖττον εἰ πατὴρ ἄλλος φθάσας.

179 (φ. 104β). Ἕτερον εἰς τὴν αὐτήν. Στίχοι 6.

Ἀρχ. Βλέπων φλέγον πῦρ πατέρα παιδοκτόνον.

180 (φ. 104β). Ἕτερον εἰς τὴν αὐτήν. Στίχοι 6.

Ἀρχ. Οὐχ ὡς μελίσσης, ὡς δὲ κηφῆνος γόνος.

181 (φ. 104β). Ἕτερον εἰς τὴν αὐτήν.

Ἔχει ὅλον ὧδε·

Τί καὶ πάλιν πῦρ οὐρανὸς κάτω βρέχει;
.... ὧδε μὴ θεοῦ θυμὸν πάλ.....
ναὶ πρῶτον ἅμα καὶ μόνον πατὴρ τέκνον
.... σφραγῖδα δεσποτικὴν ταννύει,
Αἰγυπτίων δὲ τοῦτον ὡς κληματίδα
θεὸς κεραυνοῖ τ... καρπὸν ... φλέγει.
Φθάνει γὰρ αὐτὸς ἐκτεμὼν τοῦτον ξίφει.

182 (φ. 105α). «Ἐπὶ εἰκονίσματι τῆς Θεοτόκου ἄνωθεν πύλης μοναστηρίου». Στίχοι 22.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ/ΝΣΗΣ Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀρχ. Ἥνπερ προεῖδεν ὁ προφητεύων πύλην
κεκλεισμένην μέν· παρθένος γὰρ ἧς πάρος.

183-211 (φ. 105β). Ἐπιγράμματα τρίστιχα.

α'). «Εἰς τὰ ἅγια τῶν ἁγίων». Ἔχει ὅλον ὧδε·

Νύμφη προέρχου· φωσφορεῖτε παρθένοι·
σβέσον, Προφῆτα, τῆς σκιᾶς τὴν λυχνίαν.
Φωτὸς γὰρ ἀντεισῆλθεν ἰδοὺ λυχνία.

β') «Εἰς τὸν Χαιρετισμόν». — γ') «Εἰς τὴν Χριστοῦ γέννησιν». —
δ') «Εἰς τὴν Ὑπαπαντήν». — ε') «Εἰς τὴν βάπτισιν». — ϛ') «Εἰς
τὴν Μεταμόρφωσιν». — ζ') «Εἰς τὴν ἔγερσιν τοῦ Λαζάρου». —
η') «Εἰς τὴν Βαϊοφόρον». — θ') «Εἰς τὸν δεῖπνον». — ι') «Εἰς τὸν
νιπτῆρα». — ια') «Εἰς τὴν προσευχήν». — ιβ') «Εἰς τὴν προδο-
σίαν». — ιγ') «Εἰς τὸν Χριστὸν ἑλκόμενον ἐπὶ τῷ σταυρωθῆναι». —
ιδ') «Εἰς τὴν Σταύρωσιν» — ιε') «Εἰς τὴν ἀποκαθήλωσιν». — φ. 106α
ιϛ') «Εἰς τὸν ἐνταφιασμόν». — ιζ') «Εἰς τὴν Ἀνάστασιν». —
ιη') «Εἰς τὴν Ἀνάληψιν». — ιθ') «Εἰς τὴν Πεντηκοστήν».

212 (φ. 106α). «Εἰς τὴν κοίμησιν τῆς ὑπεραγίας Θεοτόκου». Στίχοι 4.

213 (φ. 106α). «Εἰς τὸν ἀρχιστράτηγον Μιχαὴλ εἰκονισθέντα ἐν τῷ προπυλαίῳ τοῦ ναοῦ αὐτοῦ τοῦ ἔξωθεν τοῦ κάστρου Τριαδίτσης, παρὰ τοῦ σεβαστοῦ καὶ μεγάλου ἑταιρειάρχου κυροῦ Γεωργίου τοῦ Παλαιολόγου ἔνθα συνεικονίσθη αὐτὸς τὲ καὶ ὁ υἱὸς αὐτοῦ ὁ σεβαστὸς κῦρ Ἀλέξιος».

Ἔχει ὅλον ὧδε·

Ὡς πρὶν Μανουὲ συλλαλοῦντά σε βλέπω
Σαμψὼν τὲ πατὴρ γίνεται[1] παρ' ἐλπίδα
ἀνθρωπομόρφως, ἀγγελόπρωτε, γράφων
σὲ πνεῦμα καὶ πατὴρ καὶ πτερωτὲ τὴν φύσιν.
Σὺ δ' ἀλλὰ ταῖς πτέρυξι πατρὶ συσκέποις
Ἀλέξιόν μου τὸ γλυκύτατον τέκνον.
Αἰτῶ σεβαστὸς ταῦτα Παλαιολόγος
Γεώργιος, ὃς μέγας ἑταιρειάρχης
Κομνηνοδουκῶν βλαστὸς ἀνακτεγγόνων.

[1] Γ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

214 (φ. 106α). «Εἰς τὸ ἐν τῷ αἰγιαλῷ τῆς Τιβεριάδος ἄριστον».
Ἔχει ὅλον ὧδε·

Νίπτεις Πέτρου πρὶν, Σῶτερ, ἐν δείπνῳ πόδας·
ἀρνήσεως τούτου δὲ νῦν ῥύπον πλύνεις
ἐγγὺς θαλάσσης συναριστῶν ὡς φίλῳ.

215 (φ. 106α). «Εἰς ἐγκόλπιον τοῦ Ἀλουσιάνου Μιχαὴλ τοῦ γραμματικοῦ τοῦ ἀπὸ τοῦ κανικλείου τοῦ Ἁγιοθεοδωρίτου ἔχον τίμιον ξύλον τοῦ Σταυροῦ τοῦ Χριστοῦ· ξύλον ἀπὸ τοῦ τάφου ἔνθα ἐποιήσατο τὴν προσευχὴν ὁ Χριστὸς ἐν τῇ νυκτὶ τοῦ πάθους· λίθους ἀπὸ τοῦ ἁγίου τάφου τοῦ Χριστοῦ· τοῦ τάφου τῆς Θεοτόκου· τοῦ ὄρους τῶν Ἐλαιῶν· τοῦ τόπου τοῦ Γολγοθᾶ καὶ τοῦ ὄρους τοῦ Σινᾶ».
Ἔχει ὅλον ὧδε·

Τόπου προσευχῆς ἐκφυὲν φέρων ξύλον
Σταυροῦ τε Χριστοῦ καὶ τάφου μητρὸς λόγου,
ὄρους Ἐλαιῶν, Γολγοθᾶ, Σινᾶ λίθους.

216 (φ. 106β). «Ἐπὶ τῷ ἐν τῷ μεγάλῳ παλατίῳ ἐγγεγλυμμένῳ [γα]στρείῳ ἐν λίθῳ». Στίχοι 5.
Ἀρχ. Ἔοικεν ὡς φύουσιν ὑδάτων δίχα.

217 (φ. 106β). «Εἰς λίθον ἀπὸ τοῦ ἁγίου τάφου τῆς Θεοτόκου ἐν ᾧ ἦν αὕτη εἰκονισμένη». Στίχοι 5.
Ἀρχ. Τὸ τμῆμα λίθου τοῦ καλύψαντος τάφου.

218 (φ. 106β). «Εἰς κανδῆλαν ἀναρτηθεῖσαν εἰς εἰκόνα τῆς σταυρώσεως τοῦ Χριστοῦ παρὰ τοῦ ᾱνῶμ (=πρωτονοβελισσίμου) κυροῦ Νικολάου». Στίχοι 13.

Ἀρχ. Σταυρῷ δύνας, ἥλιε τῆς δόξης λόγε,
ἥλιον ἠμφίασας ἔνδυμα σκότους.
Τελ. σὺ δ' εὐφροσύνης ἀντιλάμποις φῶς μέγα
Μαυροκατακαλὼν με σὸν δοῦλον σκέπων
αὐχοῦντα τιμὴν πρωτονοβελλισίμου
τὸν Νικόλαον καὶ τρυφᾶν τέλος δίδου
σὺν Εὐφροσύνῃ Δουκοβλάστῳ συζύγῳ
ἡμῶν τε τέκνοις τῆς Ἐδὲμ χλόης μέσον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

219 (φ. 106β). «Εἰς εἰκόνα τοῦ Χριστοῦ τοῦ Περιβλέπτου κοσμηθεῖσαν παρὰ βασιλέως, ἧς ὄπισθεν ὁ αὐτὸς εἰκονίσθη». Στίχοι 17.

Ἀρχ. Εἰ καὶ τύπου πίνακα κοσμῶν σε, λόγε,
ὄπισθεν αὐτοῦ τὴν ἐμὴν γράφω θέαν
πιστὸς λάτρες σὸς Βασίλειος Σερβλίας,
ἀλλὰ τὸ δαυίδειον ἐξάδω μέλος.
Τελ. Ὅταν καθίσῃς εἰς περίβλεπτον θρόνον,
κοινὴν ἀνεγκλήτευτον ἐξάγων κρίσιν.

220 (φ. 106β). «Εἰς τὸν ἐν τῇ μονῇ τοῦ Παντοκράτορος τάφον τοῦ σεβαστοκράτορος καὶ πορφυρογεννήτου κυροῦ Ἀνδρονίκου ὡς ἀπὸ τῆς συμβίου αὐτοῦ, τῆς σεβαστοκρατορίσσης κυρᾶς Ἄννης». Στίχοι 36.

Ἀρχ. Ὢ τύμβε· πικρὰ κλῆσις· ἀλγεινὴ θέα.

221 (φ. 107α). «Εἰς εἰκόνα ἔχουσαν ἱστορηθέντα τὸν βασιλέα, τὴν δέσποιναν εὐλογουμένην παρὰ τοῦ Χριστοῦ». Στίχοι 34.

Ἀρχ. Κἀνταῦθα τέρμα τῆς προφητείας βλέπω
. . . . . . . . . . . . . . . . . . . . . . .
σωτῆρα, ῥύστην, φύλακα, σκέπην, βάσιν,
ἄλλον θεὸν πλάττοντα δευτέραν πλάσιν,
τοὺς συντριβέντας ἐκδρομαῖς τῶν βαρβάρων.
Ἰωάννης δὲ τοῦ θεοῦ λόγου θύτης
Χρυσοροφίτης ἐξ ἐπωνύμου γένους,
κἂν εὐτελὴς ᾖ καὶ μικρὸς τὰ πρὸς τύχην,
πίστιν[1] πόθῳ σύγκρατον αὐτοῦ δεικνύων,
ὃν πρὸς τὸν αὐτάνακτα Μανουὴλ τρέφει,
τὸν πορφυρόχρουν τῆς νέας Ῥώμης στῦλον
χρώμασι τυποῖ δουλικῶς τοῦτον γράφων
καὶ τὴν ἄνασσαν Μαρίαν συνεγγράφων
Ἀντιόχου γῆς πρὶν φέρουσαν τὸ κράτος.
Τελ. γήρᾳ λιπόντων ἐν βάθει τὰ τοῦ κράτους.

222 (φ. 107β). «Εἰς τὴν ἀπὸ Κορίνθου ἀνακομισθεῖσαν εἰς τὴν

[1] πίστει. Πρβλ. κατωτέρω ἀρ. 222 στ. 12.

μεγαλόπολιν εἰκόνα τοῦ ἁγίου Θεοδώρου καὶ αὖθις ἀποσταλεῖσαν ἐκεῖσε ».

Ἔχει ὅλον ὧδε·

Καὶ τοῦτο δεῖγμα βασιλικῆς καρδίας
αὐτοκρατοῦντος Μανουὴλ Ῥώμης νέας
Κομνηνοθαλοῦς πορφυρανθοῦς δεσπότου.
Καὶ γὰρ λαβὼν σὴν προσκυνητὴν εἰκόνα,
ἀθλητὰ Τήρων, καὶ θεοῦ δῶρον μέγα
ναοῦ τὸ καλλώπισμα τῶν Κορινθίων
ἐπανάγει μὲν εἰς πόλιν Κωνσταντίνου,
ἀνάκτορα χρόνοις δὲ μακροῖς λαμπρύνει
φέροντά σε στίλβοντα τούτων ἐν μέσῳ.
Νῦν δ' ἀλλὰ κόσμῳ χρυσοειδεῖ καλλύνας
Κορινθίων δίδωσι τῇ πόλει πάλιν.
Πείθει γὰρ αὐτὸν συμμιγὴς πίστει πόθος
πλουτεῖν σε καὶ πόρρωθεν ἐγγὺς προστάτην.
Σὺ δ' ὡς ἕως νῦν, καὶ πάλιν ὑπερμάχει.
Ὡς δὲ στέφους ἔφριξεν αὐτοῦ τὸ κράτος
Ἀντιόχου γῆ καὶ Χάλεπ καὶ Κιλίκων
καὶ σερβικὴ ξύμπασα καὶ γῆ Παννόνων
καὶ Σικελῶν ῥὴξ καὶ Σκυθῶν πανσπερμία
καὶ γαῦρον ἔθνος Ἰταλῶν πλῆρες θράσους
καὶ Νεῖλος ἄρδων ταῖς ῥοαῖς Αἰγυπτίους,
οὕτω λιταῖς σαῖς καὶ τὸ λεῖπον προτίθει,
κἂν τις λαθὼν βάρβαρος ἑρπύσῃ δράκων,
θραῦσον κεφαλὴν τῷ βασιλεῖ συμπνέων
καὶ γῆς τετραμέρεια γνώτω κυκλόθεν
αὐχοῦντα τοῦτον τὴν πάλαι μοναρχίαν
κύκλους διαγράφοντα μακρῶν ἡλίων.

223 (φ. 107β). «Ἐπὶ τῷ τάφῳ τοῦ Συναδηνοῦ κυροῦ Ἀνδρονίκου τοῦ γαμβροῦ τοῦ δεσπότου τοῦ Ἀγγέλου ».

Ἔχει ὅλον ὧδε·

Ἂν τύμβον ἰδὼν καρδίαν θλιβῇς, ξένε,
ἐκ φύσεως σχὼν συμπαθεῖν ἀλλοτρίοις,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Σ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀλλ' ἐνθάδε στὰς καὶ μαθὼν ἐν τοῖς τύποις
τὸν ἔνδον ὄντα τίς γένος, κάλλος, τύχην,
τὰ στέρνα ῥῆξον, ἀντὶ δ' ἁπλῶς δακρύου
στάλαξον αἷμα, δεῖγμα δυςφόρου πάθους.
Ὁ κείμενος γὰρ τὰ μὲν εἰς γεναρχίαν
τῆς Συναδηνῶν εὐκλεοῦς ῥιζουχίας,
τὰ δ' εἰς θεὸν θέλγητρον ἦν τῶν ὀμμάτων.
Ἰδὼν ἂν εἶπες κυπάριττον ὀρθίαν.
Ὡς ἱλαραὶ μὲν ἦσαν ὀφθαλμῶν κόραι,
τὸ πᾶν δ' ὁμοῦ πρόςωπον οἶκος χαρίτων.
Τὰ δ' εἰς λόγους γλύκιστος ἦν ὑπὲρ λόγους,
τὰ δ' εἰς φρένας ἄβυσσος ἐννοημάτων,
τὰ πρὸς ἰσχὺν ἀλκιμώτατος λέων,
ἐν ἀρεταῖς κόσμιος, ἐν βουλαῖς ὅσος.
Ἐντεῦθεν αὐτῷ παρ' ἀνακτόροις κλέος
καὶ φίλτρον ἐξ ἄνακτος ἔρνους πορφύρα,
αὐτοκρατοῦντος Μανουὴλ Ῥώμης νέας.
Ἁρμόζεται δὲ καὶ πρὸς ἔννομον γάμον
Ζωῇ, θυγατρὶ Κομνηνῆς Θεοδώρας,
πορφυροθαλοῦς πατρὸς ἐξ Ἀλεξίου,
τῶν Αὐσόνων ἄνακτος εὐσεβεστάτου.
Ὀφθεὶς δ' ἀπ' αὐτῆς καὶ πατὴρ φίλων τέκνων
ἑνὸς στερεῖται· κόνδυ δ' ἐκπίνει πόνου.
Ἀρχαῖς δὲ λαμπραῖς κοσμικαῖς ἐπιπρέπει
εἰς γῆν Ἐπιδαύνου τε καὶ νῆσον Κύπρον.
Στρατηγετεῖ δὲ καὶ παρ' αὐτῷ τῷ νήσῳ.
Ὅθεν διελθὼν ἔνθα Παιόνων κράλης
ἕνωσις ὤφθη τῶν διεστώτων πάλαι.
Συνδεῖ δὲ καὶ Σόλυμα τῇ Κωνσταντίνου,
τὸν ῥῆγα πρὸς σύζευξιν ἑλκύσας γάμου
λαβεῖν ἀδελφόπαιδα τοῦ βασιλέως.
Ἄρχει δ' ἐπ' αὐτοῖς καὶ Τραπεζοῦντος τέλος.
φ.108α || Πολλοῖς δ' ἐν αὐτῇ προςτυχὼν ἐναντίοις,
κατίσχεται, φεῦ, δυςανακλήτῳ νόσῳ
καὶ ναυστολεῖται μέχρι τῶν χηλῆς ὅρων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐκεῖ κατιδὼν σύζυγον, παῖδας, φίλους
ὅθεν διέστη πρὸς Τραπεζοῦντα πλέων.
Νόσος δὲ νικᾷ τὴν ταχύφθαρτον φύσιν,
τὸν χθὲς δὲ χρυσόπαστον ἐν τοῖς ἀμφίοις
μελενδύτην δείκνυσιν ἀντειληφότα
ἐξ Ἀνδρονίκου κλῆσιν Ἀθανασίου.
Οὕτω σκιὰ πᾶν καὶ ταχὺ πνεῦμα πνέον.
Τοιοῦτον ἡ πλὰξ μάργαρον κρύπτει, ξένε.
Τὸν τύμβον ἔγνως συμφορῶν ὅσων γέμει,
πλὴν ἀλλὰ καὶ δάκρυα πικρῶς ἐκθλίβων
εὔχου πλέον σχεῖν τὸν νεότμητον στάχυν
Ἐδὲμ χλόην, σκήνωμα καὶ τρυφῆς ὕδωρ.

224 (φ. 108α). «Ἐπὶ τῇ νεουργηθείσῃ μονῇ ἐπ' ὀνόματι τῆς Ὑπεραγίας Θεοτόκου παρὰ τοῦ πανσεβάστου μεγάλου ἑταιρειάρχου· ἧς ἐν τῷ προνάῳ εἰκονίσθησαν οἱ βασιλεῖς, ἐξ ὧν ἡ σειρὰ τοῦ γένους τούτου κατάγεται καὶ μερικὰ τινὰ κατορθώματα τοῦ πορφυρογεννήτου καὶ αὐτοκράτορος κυροῦ Μανουὴλ τοῦ Κομνηνοῦ».

Ἔχει ὅλον ὧδε·

Ὡς λαμπρὸν ἐντρύφημα καρδίας φέρεις,
ναοῦ τὸ κάλλος καθορῶν τούτου, ξένε.
Λίθων γὰρ αὐγαῖς μαρμαρύσσει ποικίλαις,
στίλβει δὲ χρυσῷ κυκλόθεν κεχρωσμένος.
Ἂν δ' ἐννοήσῃς οἷα μὲν τούτῳ βάθρα,
οἷος δὲ φραγμός, τίς δ' ἐν αὐτοῖς ἡ στέγη,
ἀγαλλιάσει συμμιγὲς θάμβος λάβῃς
καὶ θαυμάσαις ἂν τὸν δομήτορα πλέον.
Γεώργιος γὰρ μέγας ἑταιρειάρχης
σεβαστὸς ἐκφὺς Παλαιολόγων γένους
Κομνηνοδουκῶν αὐτοκρατορεγγόνων
τῇ μητρανάνδρῳ τόνδε προσφέρει κόρῃ
ἀφ' ἧς Σοφίας τοῦ θεοῦ βάθρου δίχα
ἔπηξεν οἶκον ἀσπόρως σαρκουμένη,
στύλοις ἀΰλοις ἐγκατεστηριγμένη
τῶν ἑπταρίθμων πνεύματος χαρισμάτων.

Ε.Ε.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὃς πίστιν ἐνθεὶς ἀπερίτρεπτον βάσιν,
εἰλικρινεῖ τοῦτον δὲ φραγμώσας πόθῳ·
στέγῃ κατωρόφωσε χρηστῶν ἐλπίδων.
Δηλῶν δὲ καὶ θέμεθλον αὐτῷ τοῦ γένους
ὅσοις γεναρχῶν ἀντερείδεται στύλοις
ἑπτάδα σεπτὴν αὐτοκρατόρων |γράφει,
σὺν Κωνσταντίνῳ Μιχαὴλ υἱὸν Δούκαν
καὶ Ῥωμανὸν δὲ τῷ γένει Διογένην,
Νικηφόρον δ' ἔπειτα Βοτανειάτην,
Κομνηνὸν Ἀλέξιον ἑξῆς τὸν μέγαν,
ἄστρον τε λαμπρὸν πορφύρας Ἰωάννην
καὶ Μανουὴλ, φῶς διπλοπορφύρου κράτους,
οὓς δεσπότας ἔσχηκεν, οὓς εὐεργέτας
ὡς καὶ προελθὼν τῶνδε τῆς ῥιζουχίας.
Πλὴν ἀλλὰ τὸν κράτιστον ἐν σκηπτροκράταις
φρικτὸν Μανουὴλ βαρβάρων φυλαρχίαις
ὡς δωρεῶν θάλασσαν ἐξυμνεῖ πλέον
εἰπεῖν δοτῆρα καὶ πνοῆς αὐτῆς κρίνων,
οὗ μυρία τρόπαια γῆς ἔγνω κύκλος,
ὧν βραχέων νῦν εἰκονίσθησαν τύποι·
φ. 108β ‖ πῶς Ἰκονίου τὴν περίχωρον φλέγει
πᾶν περσικὸν στράτευμα συνδραμὸν τότε
τῷ σατραπάρχῃ συμφυγεῖν ἀναγκάσας·
πῶς Ἀγαρηνοῖς ἐντυχὼν ὡπλισμένοις
κυνηγετῶν ἄοπλος εἰςπίπτει μόνος·
βάλλων δὲ τοῦτον καὶ πρὸς ἄλλον ἐκκλίνων
πτέρναν[1] ἐπλήγη· πλὴν ἀναστρέψας φθάνει
καὶ τὸν βαλόντα συλλαβὼν οὐ κτιννύει·
πῶς δ' ἀνάριθμον εἷλεν αἰχμαλωσίαν
σὺν εὐαρίθμῳ στρατιᾷ τῶν Αὐσόνων·
πολλοῖς ἐπιδραμοῦσιν Ἰσμαηλίταις
συνεμβαλὼν ἔατρεψεν εἰς φυγὴν μόνος,
σπάθας, βέλη, δόρατα μὴ φρίξας τόσα·
πῶς τοὺς παροινήσαντας αὖθις Δαλμάτας

[1] πτέραν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΝΙΤΣΙΟΣ
Ε.Υ. Ζήτης Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐλθὼν κολάσαι Παίοσι προςτυγχάνει·
ἀνδραγαθεῖ μόνος δὲ συσχὼν ζουπάνον,
γυμνῷ κατ᾽ ὄψιν ἀντεπελθόντα ξίφει·
πῶς Σιρμίου πρὶν αἰχμαλωτίσας χθόνα
καὶ τῷδε σὲ πρέπουσαν ἀπίστῳ τρόπῳ
ποινὴν δεδωκὼς δουλαγωγεῖς Σερβίαν·
ὕστατα δ᾽ αὐτὸ Σίρμιον προςλαμβάνων
τοῦ Παιονάρχου συμμερίζει[1] τὸ κράτος
καὶ τῇ πόλει θρίαμβον ἐκτελεῖ μέγαν.
Ὁρᾷς τὸ κάλλος οἷον ἐκ πόσων τρόπων
ὁ ναὸς αὐχεῖ συγκεκραμένον, ξένε.
Τῷ γοῦν νεουργῷ καὶ χαρᾶς πλήρη βίον
μακρὸν εὔχου σὺν συνεύνῳ καὶ τέκνοις,
οἶκον δὲ κοινὸν τὴν Ἐδὲμ τέλος χλόην.

225 (φ. 108β). «Εἰς μύακα τοῦ ἐν τῷ βουνῷ τῶν Βλαχερνῶν νεουργηθέντι τρικιόνῳ».

Ἔχει ὅλον, ὧδε·

Ἐν σοὶ τὸ βάθρον ἀσφαλῶς ἡδρασάμην
τοῦ βασιλείου τοῦδε καὶ λαμπροῦ δόμου
ἀνάκτορον ζῶν παμβασιλέως, κόρη.
Συνεγγράφω δὲ καὶ τεκόντων τοὺς τύπους
ὡς ἐν σκιαῖς κἂν τοὺς ποθουμένους βλέπω.

226 (φ. 108β). «Εἰς κανδήλαν χρυσῆν δοθεῖσαν εἰς τὸν ναὸν τοῦ Ἁγίου Γεωργίου τοῦ Γοργοῦ παρὰ τοῦ Μέλητος». Στίχοι 6.

Ἀρχ. Θείας με λαβὼν ἐκ κολυμβήθρας βρέφος.
Τέλ. Ἀδριανὸν Μέλητα, σύζυγον, τέκνα.

227 (φ. 108β). «Εἰς Τίμιον Σταυρὸν τεθέντα ἐν τῷ τάφῳ τῆς σεβαστῆς κυρᾶς Σοφίας τῆς Κομνηνῆς καὶ τῆς σεβαστῆς θυγατρὸς αὐτῆς κυρᾶς Εἰρήνης». Στίχοι 8.

Ἀρχ. Τύπος παγέντος ἐν λιθοστρώτῳ ξύλῳ.

[1] συμμερίζει συμμερίζει

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

228 (φ. 108β). «Στίχοι γραφέντες εἰς ἐγχείριον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου τῆς Ὀδηγητρίας».

Ἔχει ὅλον ὧδε·

Πρὸς τὰς θαλάσσας τῶν χαρίτων σου, κόρη,
σταγὼν τὸ δῶρον, ἀλλὰ πιστῆς καρδίας.
Δεδεγμένη γοῦν χρυσοπόρφυρον πέπλον
μὴ τὸ προσαχθέν, ἀλλὰ τὸν πόθον μέτρει.
Ὡς γὰρ ἀνάσσῃ προσφέρω τὴν πορφύραν, φ. 109α
ὡς δ' ὑπεράγνῳ παρθένῳ τὸ χρυσίον
Γεώργιός σοι ταῦτα Παλαιολόγος
Δούκας Κομνηνὸς καὶ σεβαστὸς[1] ἀξίᾳ.

229 (φ. 109α). «Στίχοι γραφέντες εἰς εἰκόνα τῆς ἁγίας Ἀναστάσεως τοῦ κυρίου καὶ ἀληθινοῦ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ ἱστορηθεῖσαν παρὰ τοῦ ἁγιωτάτου πατριάρχου Ἱεροσολύμων κυροῦ Ἰωάννου τοῦ γεγονότος καθηγουμένου τῆς μονῆς τοῦ Ἁγίου Διομήδους τῆς λεγομένης Νέας Ἱερουσαλήμ». Στίχοι 21.

Ἀρχ. Πάλιν μὲν ᾠκτείρησας, ὡς Δαυὶδ γράφει,
Σιὼν ἀναστὰς ἐκ τάφου, πλαστουργέ μου.

230 (φ. 109α). «Εἰς ἐνδυτὴν τῆς ἁγίας τραπέζης δοθεῖσαν τῇ μονῇ τοῦ Στουδίου παρὰ τῆς πορφυρογεννήτου κυρᾶς Ἄννης». Στίχοι 8.

Ἀρχ. Σοὶ τῷ πρὸ πάθους ἐνδυθέντι πορφύραν.
Τέλ. Σοὶ δ' ἀλλὰ τραπέζης με τῆς σῆς ἀξίου
Ἄνναν Κομνηνὴν πορφυρανθῆ πατρόθεν
Κοντοστεφάνῳ σὺν Στεφάνῳ συζύγῳ.

231 (φ. 109α). «Εἰς εἰκόνα τοῦ ἁγίου Νικολάου κοσμηθεῖσαν». Στίχοι 14.

Ἀρχ. Ἂν ἐζυγοστατεῖτο καρδίας πόθος,
ἣν ἂν βαρυστάθμητος ὃν πρός σε τρέφω.
Τέλ. σωτηρίαν δὸς τῷ Τζίρῳ Θεοδώρῳ.

καὶ β α
[1] σεβαστὸς κομνηνός

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

232 (φ. 109α). «Εἰς εἰκόνα τοῦ μοναχοῦ Νεοφύτου ἔχουσαν τὴν ὑπεραγίαν Θεοτόκον καὶ τὸν ἅγιον Δημήτριον ἱκετεύοντας τὸν κύριον ἡμῶν καὶ θεὸν Ἰησοῦν Χριστόν». Στίχοι 8.

Ἀρχ. Ἄνθος σε τὸ βλαστῆσαν ἐν κόσμῳ λόγε,
καὶ φυσικῶς ἄνευθεν ἰκμάδος γράφων
φ. 167β ‖ Νεόφυτος σὸς ἐν μονοτρόποις λάτρις.

233 (φ. 109β). «Εἰς χρυσῆν ἀπαλαρέαν γενομένην παρὰ τῆς αὐτοκρατορίσσης κυρᾶς Εἰρήνης».

Ἔχει ὅλον ὧδε·

Τὸ χρῆμα χρυσοῦν, ἡ δ' ἐν αὐτῷ στιλπνότης
οὐ φύσεως ἔοικεν ἐκστίλβειν τόσον
ὅσον φεραυγῶν χρυσοειδῶν χαρίτων
τῆς αὐτανάσσης βασιλίδος Εἰρήνης,
ἧς τοῦτο χρῆμα καὶ δι' ἣν στίλβει πλέον.
Ἣν Ἀλαμανῶν εὐγενεῖς ῥῆγες γένους
φύουσι παῖδες καισάρων Ἰουλίων,
ἄναξ ἑαυτῷ Μανουὴλ δὲ συνδέει
Κομνηνὸς ἐκφὺς πορφύρας αὐτοκράτωρ
Ῥώμης παλαιᾶς εἰς ἕνωσιν καὶ νέας.

234 (φ. 109β). «Εἰς ἐγχείριον τῆς Ὑπεραγίας Θεοτόκου». Στίχοι 14

Ἀρχ. Περιστεράν σε χρυσέαν μεταφρένοις
εἰδώς, κόρη, σκέπουσαν εὗρον πολλάκις
. . . . . . . . . . . . . . . . . . . .
σκέπω τύπον σὸν χρυσοπάστῳ πορφύρᾳ
ἐν σοὶ σεβαστὸς Γουδέλης Τζικανδήλης.
Τέλ. σὺν Εὐδοκίᾳ συζύγῳ σώζουσά με,
ἡ πορφυρανθοῦς ἐξέφυ Θεοδώρας.

235 (φ. 109β). «Εἰς εἰκόνα τοῦ ἁγίου Γεωργίου κοσμηθεῖσαν». Στίχοι 20.

Ἀρχ. Ἔμπνουν ὁρῶ σε μάρτυς εἶχε γὰρ τάχα
χρώμασιν κιρνᾶν καὶ ζωὴν ὁ ζωγράφος.

ΙΩΑΝΝΙΝΑ 2006

Τέλ. ἐμοῦ τὸ λύτρον καὶ συνεύνου δεσπότου
πορφυροφυοῦς εὐσεβοῦς Ἀλεξίου
καὶ βασιλείας οὐρανῶν λάχος δίδου.
Ἡ βασιλὶς αἰτῶ σε πιστῶς Εἰρήνη.

236-239 (φ. 109β). «Εἰς κωθώνιον ἔχον εἰκονισμένας τὰς ἀρετάς». Τέσσαρα ἐπιγράμματα, ἔχοντα ὧδε·

Τὰς ἀρετὰς διψῶσα τοῦ πίνειν πλέον
κύκλωθεν αὐτὰς τοῦ κρατῆρος ἐγγράφει
Κομνηνοφυοῦς Σοφίας παῖς Εἰρήνη.

Τὰς ἀρετὰς γράψασα κρατῆρος κύκλῳ
μνήμην Σοφίας τοῦ κρατῆρος εἰςφέρει,
φρόνησις ἐξ οὗ σωφροσύνη συρρέει.

Χρυσοῦς κρατήρ· Βάκχαι δὲ ποῦ Διονύσου;
φ. 110α ‖Φεύγουσι μακρὰν, μὴ παρούσης τῆς Μέθης.
Ἡ γὰρ Σοφίας Κομνηνῆς παῖς Εἰρήνη
τῶν ἀρετῶν ἔγραψε κύκλῳ τοὺς τύπους

Φέρουσα κλῆσιν ἀρετῶν ὑπερτέρας
Κομνηνοβλάστου Σοφίας παῖς Εἰρήνη
κύκλῳ κρατῆρος ἀρετῶν στήλας γράφει·
διψεῖ γὰρ αὐτὰς ὑπὲρ αὐτὴν τὴν πόσιν.

240 (φ. 110α). «Περὶ τῆς εὐλογίας τῶν τεσσάρων στοιχείων τοῦ κόσμου». Στίχοι 18.

Ἀρχ. Τὴν γῆν πατήσας εὐλογεῖς ταύτην, λόγε.

241 (φ. 110α). «Εἰς εἰκόνα τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Λουκᾶ». Στίχοι 18.

Ἀρχ. Ἡ τὴν ἑαυτοῦ ζωγραφεῖ Λουκᾶς θέαν.
Τέλ. Λιτάζεται Σγουρὸς σὲ νῦν Ἰωάννης
ὁ καὶ νεουργὸς σοῦ σεβασμίου τύπου,
Εὐαγγελιστὰ σὺ δὲ τὴν χάριν νέμοις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Δήμης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

242 (φ. 110α). «Εἰς τάφον τοῦ Κοντοστεφάνου».

Ἔχει δλον ὧδε·

Ἂν ἐν σκιαῖς, ἄνθρωπε, καὶ γραφαῖς θέλης
βίου κατιδεῖν εὐμεταβλήτους χρόας,
νῦν τοὺς καθ' ἡμᾶς μάνθανε βλέπων τύπους
Ἡ ζῶσα νεκρὰ προςλαλῶ Θεοδώρα.
Ἐγὼ Κομνηνῶν εὐκλεοῦς ἔφυν γένους,
πάππων προῆλθον ἐκ σεβαστοκρατόρων,
ὧν παῖς σεβαστὸς Ἀδριανὸς γεννάδας
ἐμὸς πατήρ. Ὡς εὖ γε τῆς πρώτης[1] τύχης.
Καιρὸς γάμων ἦν· εὐτυχῶ κἀν τοῖς γάμοις,
ἀνδρὶ ζυγεῖσα· φεῦ λαλεῖν ἔτι σθένω
καὶ μὴ παρ' αὐτὴν τὴν λαλιὰν ἐκπνέω
ὁμευνέτην λαχοῦσα τοῦ πάθους ὅσον·
μνήμη γὰρ αὐτοῦ καὶ μόνη με συγχέει·
Κοντοστεφάνων εὐγενοῦς ῥίζης κλάδον
τὸν Ἀνδρόνικον οἶδας, οὗ μέγα κλέος
φ.110β οὗ νοῦς σταθηρὸς, οὗ βαθύγνωμοι φρένες
καὶ χεὶρ σθεναρὰ καὶ σθεναρὸς βραχίων,
ἐξ ὧνπερ οἰκείωσις αὐτοκρατόρων
καὶ φίλτρον ἐγκάρδιον ἐκ βασιλέων.
Ἔργοις γὰρ αὐτῶν ηὐμένιζε καρδίας.
Προςμαρτυρεῖ πρίγκιψ δὲ τῆς Ἀντιόχου
ὁ πρὶν ἀλαζὼν, ὁ θρασὺς, τύφου γέμων
ἄκων ὑπαχθεὶς προςκυνῆσαι μακρόθεν
ἄνακτι πιστῷ Μανουὴλ γῆς δεσπότῃ
καὶ Σικελὴ ναῦς καὶ πόρος Βρεντησίου.
Τίς[2] ἱππότης ὡς οὗτος ἢ τίς ὁπλίτης,
τίς δεξιὸς σύμβουλος ἐν βουλῆς[3] χρόνοις;
Γλυκὺς προςειπεῖν· εἰ δὲ προςβλέψει, χάρις.
Τοιοῦτον ἔσχον εὐτυχῶς ὁμευνέτην.
Μήτηρ δ' ἀπ' αὐτοῦ τετάρων ὤφθην τέκνων.

[1] Τὸ πρῶτον ἀντὶ τοῦ πρώτης ἐγράφη τύχης.

[2] τῆς

[3] τὸ πρῶτον βουλαῖς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Θνήσκει τὰ δύο· τοῦτο μοι πρῶτος πόνος.
Ὅμως τὰ λοιπὰ τὸν πόνον παρηγόρουν,
ἄρρην δὲ μᾶλλον, ὃς πατρὸς σώζων τύπον
διπλοῦν παρεῖχε τὸν τεκόντα προςβλέπειν.
Φθόνος δ᾽ ἐπαύξων τὰς ἐμὰς θλίψεις πλέον
πικρᾷ νόσῳ δίδωσι καὶ τὸν πατέρα.
Κἀνταῦθα δὲ φρόνησις αὔχει τὸ κράτος.
Χαίρων γὰρ ἀπέθριξε τὴν χρυσῆν τρίχα,
νέφη δὲ κρύψας ἀμφίων τὸ σαρκίον,
ψυχῇ δὲ λαβὼν ἡλιάζουσαν χάριν
καὶ κλῆσιν ἄλλην προςλαλῶν[1] Ἀντωνίου
ἀρχὰς λαθὼν παρῆλθε τὰς ἐν ἀέρι,
λεπτὴν κόνιν τύμβῳ δὲ πιστεύει μόνην.
Κἀγὼ μονάζω στρουθὸς ἐν δωματίῳ,
τούτου δὲ καὶ χοῦν ὥςπερ εὐλαβουμένη
ὀστοῖς ἐμοῖς πρόςγειον ἱστῶ τὸν τάφον.
Σὺ δ᾽ ἀλλά, σεμνή, ψυχοσῶστις Παρθένε,
οὓς νῦν φθάσαν διεῖλε θανάτου ξίφος
ἐν οὐρανοῖς σύναψον εἰς μονὴν μίαν,
υἱὸν κριτὴν σὸν ἱλεοῦσα τοῖς δύο.

243 (φ. 110β). «Εἰς τὰς ζ΄ συνόδους, τοῦ Χριστοῦ μέσον ἱσταμένου». Στίχοι 7.

Ἀρχ. Σάλπιγξι σαλπίσατε ἱερεῖς κύκλῳ.

244 (φ. 110β). Ἀνεπίγραφον. Στίχοι 8.

Ἀρχ. Καὶ ζῶν ἐγώ σε, μάρτυς, ἐπλούτουν σκέπην.

245 (φ. 110β). «Εἰς εἰκόνα τοῦ ἁγίου Γεωργίου κοσμηθεῖσαν» Στίχοι 20.

Ἀρχ. Εἰς καρδίαν τοῦ σοῦ βαλὼν πόθου σπόρον.
Τελ. ‖ εἰς ἀποθήκας οὐρανῶν ἔνδον τίθει, φ. 111α
σῖτον καθαρὸν σῇ χάριτι δεικνύων.
Γεώργιος σοι ταῦτα Παλαιολόγος
Δούκας Κομνηνὸς καὶ σεβαστὸς ἀξίᾳ.

[1] Γραπτέον προςλαβών



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

246 (φ. 111α). «Ἠθοποιία τίνας ἂν εἴποι λόγους ἡ σεβαστὴ κυρὰ Εἰρήνη ἡ θυγάτηρ τῆς σεβαστῆς κυρᾶς Σοφίας τῆς τοῦ σεβαστοκράτορος περὶ τῶν εἰς αὐτὴν συμβεβηκότων».

Ἔχει ὅλον ὧδε·

Οὐκ ἔστι μοι μὲν εὐχαριστίας λόγος
ἐπάξιός σοι τῶν καλῶν, πλαστουργέ μοι,
οὗ δέδρακάς μοι καὶ παρ' αὐτὴν τὴν πλάσιν.
Πλὴν ἀλλὰ πύλας ἐξανοίγω χειλέων
καὶ τὸν χαριστήριον ἐκ ψυχῆς φέρω
θαρροῦσα τῇ σῇ συμπαθεστάτῃ φύσει.
Ἐπεὶ γὰρ ηὐδόκησας οἷς οἶδας λόγοις
κἀμὲ προελθεῖν εἰς τὸν ἄστατον βίον
καὶ κάλλος ἰδεῖν οὐρανοῦ καταστέρου
καὶ φωσφόρου φῶς καὶ σεληναῖον δρόμον
καὶ πυρὸς αὐγὴν καὶ τὸ λεπτὸν ἀέρος
καὶ ῥοῦν θαλάσσης καὶ χλοηφόρον χθόνα,
εὐεργετεῖς εὐθύς με τοῖς προοιμίοις,
πανευκλεῆ δοὺς καὶ τὰ τῆς πλαστουργίας.
Οὐ γὰρ συνάπτεις εἰς ἐμὴν γεναρχίαν
συζυγίαν πένησσαν ἀκλεεστάτην
ὡς κἀμὲ θλίβειν πατρικὰς δυςπραγίας
περιρρεόντων ἀποροῦσαν ἀμφίων
σαθροῖς κεχρημένην δὲ πρὸς σαρκὸς σκέπην
ἃ καὶ διερρώγασι τῷ μακρῷ χρόνῳ,
ἔργοις δὲ χειρῶν τοῦ βίου ζητεῖν πόρον
ἢ πρὸς καθιστούργησιν ἀσχολουμένην
ἢ νίτρα λαμβάνουσαν καὶ μισθουμενην
εἰς ἀμφίων κάθαρσιν ἐρρυπωμένων
ἢ τὰς ἀγυιὰς εἰς μέσας περιτρέχειν
ἀσανδάλους φέρουσαν ἀθλίους πόδας
ἢ καὶ θυραυλεῖν εἰς τροφῶν χορηγίαν,
στενώσεως λύτρωσιν ἐξαιρουμένην
καὶ σῶστρα τοῖς νέμουσιν ὑπισχνουμένην.
Ἀλλ' οὐδὲ τύχης δουλικῆς ὑπεξάγεις
εἰς ἡμέρας φῶς. κἂν δοκῇ δούλοις σκότος,

Ε.Ι.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὡς δεσποτῶν μου καὶ βοὴν μόνην τρέμειν,
στροβουμένην μὲν καὶ λόγοις τὴν καρδίαν
ἐπὰν ἀπειλήσωσι πληγὰς μαστίγων,
κλονουμένην δὲ τῶν ὀδυνῶν ταῖς βίαις,
ἐπάν με συντέμνωσιν ἐκ ῥαβδισμάτων
καὶ πῇ μὲν ἄρτους ἐκπονεῖν ἐγκρυφίας,
πῇ δ' ἐξ ἀλεύρου συμφυρᾶν τε καὶ ζύμης,
ὕδωρ δ' ἀπαντλεῖν ἐκ φρεατίων βάθους
καὶ πῦρ ἀνάπτειν ὀψοποιοῖς, ὡς νόμος,
καὶ χειροδέσμην εἰςφέρειν ἑκουσίαν
ἕως τόδε δρᾶν δεσποτῶν εἴπῃ στόμα.
Οὐ τὰς ἀπαρχὰς, δημιουργέ μου λόγε,
τοιάςδε μοι δέδωκας εἰς πλάσιν φέρων·
ἐξ ἐμβρύων δὲ δεικνύεις σεβασμίαν
‖ βασιλικῆς ῥίζης με βλαστῆσαι κρίνας. φ. 111β
Μήτηρ σε καὶ γὰρ πανσέβαστος ἐκκύει
κλῆσιν Σοφία, καλλονῶν κρᾶσις μία,
ἠθῶν χάρις, ἔμψυχος ἀρετῶν δόμος,
πανευτυχοῦς δὲ τέκνον Ἰσαακίου,
σεβαστοκράτωρ ὃς πρὸ πάντων ἐρρήθη·
κοινὴν δὲ τούτῳ μητρικὴν λύει θύραν
Ἀλεξίῳ κράτιστος αὐσονοκράτωρ,
Κομνηνοφυὴς ἐκ γένους τριςολβίου
Ῥώμης νέας ἄνακτος Ἰσαακίου.
Ἐπεντρυφῶ δὲ τῶν γεναρχῶν τῷ κράτει
Ἰωάννην, ὄρπηκα τερπνὸν πορφύρας,
ἰδοῦσα πρῶτον ἐμπρέποντα τῷ θρόνῳ
καὶ νῦν Μανουὴλ πορφύρας διπλῆς κλάδον
ὁρῶσα πατρὸς εἰςφέροντα τὸ στέφος.
Πατὴρ δέ μοι τὰ πρῶτα ταῖς τιμαῖς φέρων
Δοκειανῶν φὺς ἐκ γένους ῥιζουχίας
καὶ συγκλεισθεὶς τῇ σεβαστῶν ἀξίᾳ,
ἡδὺς προςιδεῖν, εἰς λόγους ὑπὲρ μέλι,
εἰς χεῖρα χαλκοῦς, γλυκύτης εἰς καρδίαν.
Οὕτω δὲ λαμπρὸν εὐτυχοῦσα τὸν τόκον.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

λαμπρῶς ἀνήχθην καὶ γένους ἐπαξίως.
Ὑπουργία γὰρ ἐκ βρέφους μοι ποικίλη.
Χρυσὸς μὲν εὐθὺς ἀμφεκόσμει τὴν κλίνην,
χρυσὸς τὰ χιτώνια, χρυσὸς δακτύλους.
Ἐνωτίων ἔχαιρον αὐγαῖς χρυσέων·
τὴν βάσιν εἶχον χρυσοπόρφυρον πόδες.
Ἤγαλλον ἅμα καὶ θεράπαιναι κύκλῳ.
ἀεὶ δέ μοι φρόντισμα τοῦ χαίρειν μόνον
μήπω μαθούσῃ τὸν παλίνστροφον βίον,
ἄν τι βραχὺ ψέλλισμα καὶ ῥῆμα βρέφους
γλώσσης ἐμῆς προῆλθε τῆς τρυφῆς, ὅση.
Εἶχον μὲν καὶ γὰρ αἱ τεκόντων ἀγκάλαι
γλυκασμὸν ὡς στάζουσαν αὐτῶν καρδίαις.
Ἐπεὶ δ' ἐγράφην εἰς κόρας ἐκ τοῦ χρόνου
καὶ τῆς φρονούσης ἡπτόμην ἡλικίας,
ἄλλη κομιδὴ πάλιν εὐπρεπεστέρα.
Φύλακες ἡμῖν παιδαγωγοὶ τοῖς τρόποις
διδάσκαλοι τε σεμνότητος παρθένων
καὶ χρύσεα κρήδεμνα καὶ κόσμος νέος
Οὕτως ἐτμάφην εὐκλεῶς ἐκ σπαργάνων.
Οὕτως ἀνήχθην εὐκλεῶς καὶ κοσμίως.
Ἐπεὶ δ' ἐκάλει τοὺς τεκόντας ὁ χρόνος
γάμου με συσχεῖν ἐννόμῳ συζυγίᾳ,
καὶ τοῦτο δρῶσιν ἐν καλαῖς ταῖς ἐλπίσι,
διαδοχὴν σπεύδοντες ἐννοεῖν γένους.
Ἐξ εὐγενῶν δὲ σχοῦσα τὸν συνευνέτην,
καὶ παῖδα τίκτω· τοῦτο τοῦ γάμου πέρας.
Πλὴν τοῦ μέλιτος βραχέως γεγευμένη,
το λοιπὸν ἀψίνθιον εὗρον τοῦ βίου,
τούτοις ἐπ' αὐτοῖς τοῖς ἐρασμιωτάτοις
θλιβεῖσα, συσχεθεῖσα δεινοῖς ἡλίκοις
καιρῷ τρυγήτου τῶν πεπείρων βοτρύων
χολῆς σταφυλὴν δυστυχῶς δεξαμένη,
ἐν δὲ χρόνῳ μεσοῦντος ὡρίμου θέρους
λύπης ἀκάνθας ἐκθερίσασα πλέον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ/ντής Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θησαυρὸν, εἰπεῖν, ἄνθρακας κτησαμένη
καὶ κόνδυ πλῆρες ἐκπιοῦσα πικρίας,
ὁμοῦ κατεῖδον ἡλίου φρυκτωρίαν
τῆς χαρμονῆς λάμψαντος ἡμῖν φωσφόρου
καὶ νυκτὸς ἅμα συγκατεσχέθην ζόφῳ, φ. 112α
λύπης σκοτασμοῦ προσχεθέντος εὐθέως.
Ὁμοῦ κατερρύησαν ἡδονῆς δρόσοι
καὶ θλίψεων συνέσχεν αὐχὴν αὐτίκα.
Ἔαρ κατεῖδον εὐθαλῶς καρποῖς βρίθον
καὶ φθινοπώρου συμπεσόντος ἀθρόον
τὸ χειμερινὸν ἐγκατερράγη ψῦχος,
χιὼν δ' ἐκρυστάλλωσε τῆς ἀθυμίας
καὶ θλιβερὰ χάλαζα κατέθραυσέ με,
ἀπαρκτίου πνεύσαντος ἀγρίου βίᾳ.
Ἀνθηφόρου λειμῶνος ὤφθην ἐν μέσῳ
καί μοι παρευθὺς ἀνθέων ἐρημία.
Ὁμοῦ γαληνὸς ὁ πλόος μοι τοῦ βίου
καὶ λαίλαπές με συστροβοῦσιν ἐν ζάλαις,
ἐπιρρεόντων συμφορῶν μοι κυμάτων.
Τῶν βρωμάτων τράπεζαν ἔσχον πλησμίαν
καὶ λιμὸς εὐθὺς συγκατειργάσατό με.
Κρατὴρ γλυκασμῶν ὑπέραντλος ἐκράθη
καὶ δίψα συμφλέξασα κατέτηξέ με.
Τοιαῦτα τὰ πρὶν, ταῦτα καὶ τὰ τοῦ τέλους·
πλὴν τῶν θλιβόντων ἄρτι τὴν μνήμην φέρω,
οὐκ ἀχαρίστως τὴν κρίσιν δεδεγμένη,
μὴ τῶν φρενῶν πέσοιμι μακρόθεν τόσον,
ἀλλ' εἰς πλέον χαίρουσα ταῖς χάρισί σου.
Ἔμοιγε καὶ γὰρ οἶδα καὶ τοῦτο κρίνω
ἐχρῆν γενέσθαι τὴν κόλασιν μυρίαν,
ἂν πταισμάτων ἄξιον ἐξῆγες κρίμα
εἰ μὴ τὸ μακρόθυμον ἐκράτει πλέον.
Νῦν δ' ἀλλὰ θυμοῦ τὴν πολύν σου τρυγίαν
οὐκ ἐκκενοῖς μοι. Τοῦτο πηλίκη χάρις.
Μίαν γὰρ 'Αδὰμ ἐντολὴν λύσαντί σου

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄκρατος ὀργὴ τὴν Ἐδὲμ κλείει θύραν,
τρυφῆς ἀφιστᾷ, δακρύειν κατακρίνει,
σύμμικτον ἄρτον τοῖς ἱδρῶσιν ἐσθίειν,
τρυγᾶν ἀκάνθας, δυςπαθῶς θνήσκειν τέλος.
Στήλην ἁλὸς πήγνυσιν ὑστέροις χρόνοις
τὴν σύζυγον Λώτ, ὡς ἐπεστράφη μόνον
Νινευιτῶν φευγόντων τὴν πόλιν πάλαι
καὶ κρίσεως σῆς ἀθετοῦντα τὸν τρόπον.
Φοβεῖς Ἰωνᾶν ἄχρις αὐτοῦ θανάτου
ὑγρὸν τάφον βλέποντα νεκρὸν δεικνύων
καὶ γαστρὶ κήτους συγκαλύπτων παμφάγου.
Τί τἄλλα τῶν σῶν κριμάτων ἐκφραστέον;
Ἐγὼ δὲ τῶν σῶν ἐνθέων ἐνταλμάτων
παραβάτις φανεῖσα τῶν ὅλων ἅμα
ὑπόχρεώς σοι ποικίλων μὲν θανάτων,
ἂν εἶχε θνήσκειν μυριάκις ἡ φύσις,
ἐγὼ καθ' αὐτῆς ἐξάγω μου τὴν κρίσιν
βολῆς κεραυνῶν ἀξία πυρεκγόνων,
ὧν ἄν τις εἴποι μαστίγων πολυτρόπων.
Σὺ δ' ἀλλὰ τούτοις οὐκ ἀπ' ὀργῆς ἐκδίδως,
πλὴν σωφρονίζεις, εἰς ἀνάμνησιν φέρεις
καὶ παιδαγωγεῖς ὡς πατὴρ φίλον τέκνον,
λύπαις μεγίσταις πρὸς μὲν ἡμᾶς ἐκθλίβων,
μικραῖς δὲ τοῖς πταίσμασιν ἀντισουμέναις.
Πείθει με λοιπὸν σὸς φιλάνθρωπος τρόπος,
ὦ ῥύστα, πλάστα, σωφρονιστά μου λόγε,
αἴτησιν ἄλλην τῶν μεγίστων σοι φέρειν,
ἔχουσαν ἴσως καὶ μορφὴν ἀντελλόγου.
Λιτάζομαι γάρ, εὐμενῶς δ' ἄκουέ μου·
φ.112β || ἡ κοσμικὴ κάκωσις ἐξέθλιψέ με
καὶ κυκεῶνα δυςχερῶν ἔπλησέ μου,
τὰ χαροπὰ πρὶν καὶ μελιτώσαντά με
ἀνιαροῖς ἔκρυψε πικροῖς ὑστέροις,
κατάρρυτον δάκρυσιν εἰργάσατό με,
ἄρτου τροφὴν τέθεικεν ὡς σποδοῦ φύσιν,

ΙΩΑΝΝΙΝΑ 2006

πῦρ ὑπανῆψε θλίψεων τοῖς ἐγκάτοις
καὶ μέχρις ὀστοῦ ἐξετεφρώσατό με
Τρυγὼν ἐδείχθην ἐργάτις ὀδυρμάτων,
ἐρημίαν θρηνοῦσα τὴν τῶν γνησίων
Δεινῶν ἁπλῶς σύρροια ποικιλοτρόπων
εἰς βυθὸν ὠθεῖ πικρίας ἀνεκβάτου.
Κάμφθητι γοῦν· ὅταν δὲ τὸν δεσμὸν λύσῃς
καὶ χοῦν συνάξας ἐξαναστήσῃς πάλιν
καὶ πλάσματος σοῦ πρακτέων ἱστᾷς κρίσιν,
μὴ καὶ κολάσῃς, κἄνπερ ἡμάρτηκά σοι.
Ἀρκεῖ γὰρ εἰς κόλασιν ἃ θλίβουσί με·
τῶν ἡδονῶν στέρησις ὧν βίος φέρει
χαρὰν νοητὴν χάριν ἀντιλαβέτω,
πῦρ μοι σβεσάτω τῆς γεέννης τὸ φλέγον,
δακρυρροοῦν βλέφαρον ἐξ ἀλγηδόνων
ἅς μοι παρεισήνεγκε Τελχῖνος φθόνος
πόρρω τιθείτω τοῦ ψυχεινοῦ Ταρτάρου.
ἡ θλίψεων κάμινος ἣν ἔνδον τρέφω
ἄξυλον ὕλην σχοῦσα τὰς περιστάσεις
κοιμισάτω σκώληκα συνθραύσαντά με
φροντὶς κατατρύχουσα καρδίαν μέσην.
Ἅφαρπασον δὲ τῶν μεσουσῶν βασάνων,
εὐσπλαγχνίας σῆς ἐνσταλάξας ῥανίδα,
νῶτα φλογιζούσης δὲ ῥομφαίας στρέφων
ζωῆς ξύλῳ δὸς ἐντρυφᾶν σεσωσμένῃ
ἐν πραέων γῇ καὶ τρυφῆς ἐπὶ χλόης.
Κατωδύνου σοι ταῦτα καρδίας λόγοι
Κομνηνοβλάστου λάτριδος σῆς Εἰρήνης
κούφισμα μικρὸν δυσπραγημάτων βάρους
καὶ λύσεως αἴτησις ἀμπλακημάτων.

247 (φ. 112β). «Εἰς τὸ καινουργηθὲν κουβούκλειον ἐν τῷ κατὰ τὰς Βλαχέρνας κουβουκλείῳ». Στίχοι 18.

Ἀρχ. Τί τὸν μέγαν ἄνακτα τυπῶν, ζωγράφε,
μέσον δ' ἐπ' αὐτῆς τῆς στοᾶς διαγράφεις

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006